Viuere. ζῆν.
Viuum genero. ζωογονέω.
Viuum capio. ζωγρέω.
Viuax. ζωηρός, ζωτικός.
Viuacior. ζωηρότερος.
Viuifico. ζωοποιέω.
Viuificus. φυσίζωος.
Viuariū pisciū. ἰχθυοτροφεῖον.
Viuidus. ζωηρός.
Vix. μόγις, μόλις, σπουδῇ, σχολῇ.
Vix uicis. ἐφημερία.
Vix, uel nō omnino. σχολῇ, γ' ἄν.
Vix liberabilis. δυσαπάλλακτος.
Vix apparens. ἀμυδρός.
Vliginosum. βλύδιον.
Vlcus. ἕλκος.
Vlcerosus. ἑλκώδης.
Vlcera oris. ἄφθαι.
Vlcero. ἑλκόω.
Vlcus quidā falso reor, προτομή, cū rear uere dici os, uel rostrū, unde os regiū, seu pſona προτομὴ βασιλική. ora leonū. προτομὴ λεόντων, & similiter de reliquis animātibus, ꝓprie autē de rationis expertibus dicitur, nō aliter sanè q̄ de hoīb⁹ facies, etiā rostrū nauiū ex ære contra tempestatum impetus.
Vlciscor. ἀμύνομαι, ἀμύνω, ἐκδικέω.
Vltio. ἄμυνα, ἐκδίκησις, ἐκδικία, τίσις.
Vltor. ἀμυντήριος, ἐκδικητής, ἔκδικος.
Vlna, cubitus. πῆχυς. habet autē πῆχυς pedes duos.
Vlna. ἀγκάλη, ἀγκαλίς, ἀγκοίνη, ὀργυία, ὠλένη, ὠλονος.
Vlnas pando. ὀργυιόω.
Vlnis fero, teneo ue. ἀγκαλίζομαι.
Vltorium. ἀμυντήριον.
Vltorius. ἀμυντικός.
Vltra. ὑπέρ.
Vlterius. ἀντιπέραιο, περαιτέρω, πρόσθε, πρόσθεν, πρόσω.
Vltimus qui præsidium seruat. ἔφεδρος, λοῖσθος, λοίσθιος, τελευταῖος.
Vltimus. πρυμνός, πρυμνήσιον quidā funiculum nauticum. Sudas uero ἀπόγειον appellat. πρυμνητής rudens, funis.
Vltim⁹. λεύτατος, ἔσχατος, νέατος, νειατός, νέατος, πανύστατος, πρυμνός, πύματος.
Vltimo. ἐσχάτως.
Vltima āni dies. πασέλη. πασίλη autē coriorū resegmina.
Vltima chorda. νεάτη, νήτη.
Vltio, seu ultor acer ac letifer dæmon. ἀλάστωρ.
Vltio, pœna, īcusatio, īuidia, fortuna. νέμεσις, ῥαμνουσία.
Vltra. πέραν, πρόσω.
Vlmus. πτελέα, πτελέος.
Vliginosus. ἑλυδρώδης, ἀπόγειος.
Vlulo. γοάομαι, ὀλολύζω.
Vlulatus. ὀλολυγή, ὀλολυγμός.
Vltro, sponte. αὐτόματι.
Vlysses, & Vlyses. ὀδυσσεύς. ὀδυσεύς. Homerus. ψυχὰς μνηστήρων κατάγων ὀδυσῆϊ δαμοίντων.
Vmbilicus. ὀμφαλός, πρότμησις, παρὰ τὸ πρῶτον τέμνεσθαι. hoc est ꝓpterea q̄ primū cæditur ī partu dictum uerbum.
Vmbilicus scuti. ἐπίσημον.
Vmbo. ἴτυς, ὀμφάλιον.
Vmbra. ζοφερά, ζοφερόν, σκιά, σκίασμα.
Vmbella. σκιάδιον.
Vmbro. ἐπισκοτέω, σκοτέω.
Vmbrosus, ul' opacus. συνηρεφής.
Vmbratilis. ἐπίσκιος.
Vmbrose. λυγαίως.
Vmbrosus. δάσκιος, πολύσκιος, ἐπίσκιος, ζοφώδης, ζοφοειδής, κατάσκιος, λυγαῖος, σκιερός.
Vmbratio. σκίασμα.
Vmbrosæ, umbratilēs ue epulæ umbrosa cœna. ζοφοδορπίδιον.
Vmbra carens. ἄσκιος.
Vmbriluniū defectus Lunæ. ζοφομηνία.
Vna. ἴα, μία.
Vnanimis. ἰσόψυχος, ὁμόψυχος.
Vnanimiter. ὁμοθυμαδόν.
Vnctor. ἀλείπτης.
Vnctor pugilum. ἀλείπτης.
Vnctus. χριστός.
Vnctio. ἄλειμμα, ἄλειφαρ, ἀλοιφή, χρίσις.
Vnguo. ἀλείφω, ἀναχρώννυμι, ἀναχρωννύω, χρίω.
Vnguentum. ἄλειμμα, ἄλειφαρ, μυρός, μύρον, χρῖσμα.
Vnguentum capitis oleum præcipuum in medicina. μύρον ἐπὶ κεφαλῆς.
Vnguentarius. μυροψικός, μυρεψός, φαρμακοπώλης.
Vnguis. ὄνυξ, πυγίδιον.
Vnguiculus. ὀνύχιον, πυγίδιον.
Vncus iumētorū pes. ὁπλή.
Vnglæ equorū, & pyxides. ὁπλαί.
Vnungulus. μώνυξ.
Vnda. κλυδώνιον, κῦμα, λαῖτμα, πλημμύριον, ῥεῦμα.
Vndosus. κυμαώδης, πολύκλυστος, πολύκυμος.
Vnda cum fragore. ῥόθιον.
Vndisonus. ῥοθιόνιος.
Vndiq; traiectum. διαμπάξ, διαμπερές.
Vndiq;. ἀμφοτέρωθεν, ἑκασταχόθεν, πανταχόθεν, πάντοσε.
Vndiq; gratus, pergratus. περιχαρής, περιχαρής.
Vnde. ὅθεν, ὁπόθεν, πόθεν, πόμαλα.
Vndecunq;. ὁθενοῦν.
Vndecim. ἕνδεκα.
Vndenariolus uersus. ἑνδεκασύλλαβος.
Vniuersus, uniuersalis ue. κα-

δημικός, ὀλικός, πάνδημος.
Vniuersus. ἅπας, ἀπαξάπας, σύμπας.
Vniuersim, uniuersaliter aliqui. καθόλου.
Vniuersim, uel gregatim. ἰλαδὸν, idest συναθροίσει κατὰ ἴλας. ἴλας enim armentū, uel gregē, & ordinē, aciēm ue dixeris, significat. ἰλάρχας ductorem, nāq; ἴλας globū, turmā, & ordinē equestris turbæ. ἰλάς etiam funiculum, uinculum.
Vnus. εἷς ἕν, ὁμός.
Vnitas. ἑνάς, ἕνωσις, μονάς.
Vnicornus. μονόκερως.
Vnigenitus, uel unicus genitus. μονογενής.
Vnio. ἑνόω.
Vniauris. μόνωτος.
Vnius partis. μονομερής.
Vnius moris. μονότροπος.
Vnice. μοναχῆ.
Vnius rei uictus. μονοφαγία.
Vno clamore. ὁμοκλήν.
Vno spiritu. ἀπνευστί.
Vniremis. ἑνήρης.
Vni. ἑνί.
Vnius testiculi. ἐνόρχης.
Vnius. ἑνός.
Voco. βοηθέω, γηρύω, καλεέσκω, καλέω, καλίζω, κικλήσκω, κλήζω, ὁμοκλάω, ὁμοκλέω, φωνέω.
Vocatorius. κλητικός.
Voco in iudiciū, appello in ius. διώκω, εἰσαγγέλλω.
Voco ad iusiurādū. ὁρκόω.
Vocatim. κλήδην.
Vocabulum. κλῆσις, λέξις.
Vocabularium. λεξικόν.
Vocatus. κλητός.
Vocandus. κλητέος.
Vocifero. ἀλαλάζω, μεταφωνέω, ὁμοκλάω, ὁμοκλέω.
Vociferatio. ἀλαλαγμός, ἀλαλητος, ὁμοκλή.
Voce carens, mutus. ἄφθογγος.
Vox ampla, etiā pugna. βοή.
Vocor ī ius, uel iudiciū. κρίνομαι.
Vocalitas. εὐστομία, εὐφωνία.
Vocalis. ἔμφωνος, εὔστομος, εὔφωνος, φωνήεις, φωνηεν.
Vocalis, uel clamosus. πολυηχής.
Vocatio. κλῆσις.
Volens. ἑκών.
Volo, is. βούλομαι, θέλω, λάω, λῶ, ἔκω, χρήζω.
Volo quidam, alii delibero uel consulo. μήδομαι, μήδω.
Voluntas. βούλησις, γνώμη, σύνεσις, εὐδοκία, θέλημα, θέλησις, προαίρεσις.
Volūtarius. ἐθέλημος, ἐθελοντήρ, ἐθελοντής, ἐθελοντὸς, ἐθελούσιος, ἑκούσιος, ἑκών.
Volūtarius seruus. ἐθελόδουλος.
Voluntaria tractatio, operositas potius. φιλεργία.
Volo, as. ἵπταμαι, ἵπτημι, πέταμαι, πέτομαι, πετάομαι, ποτέομαι, πτάμαι, πτῶ, πτῆμι, πωτάομαι.
Volans. πεπτηκώς.
Volatus. ποτή, πτῆσις, πτῆμα.
Volatilis. πετεινός, πετεινός, πτερόεις.
Volucer. ὄρνεον, qđ nomē cōmune, οἰωνὸς uero σαρκόφαγα, καὶ σύμβολα, ut ait Sudas significat.
Volucres. πετεινά.
Voluo. δινέσκω, δινεύω, δινέω, κυλέω, κυλίζω, κυλινδέω, κυλίνδω.
Volumen. σύγγραμμα.
Voluto. δινέσκω, ἀλυφάζω, ἀλυφάζω, ἐπικλώθω, κυλίω.
Voluere. εἰλίσσω.
Volutatio. δίνη, δινηθισμός, δῖνος, κύκλωσις, κύλισμα.
Volutabrum. κύλισμα.
Voluptas, uel melius forsan ludus, seu festum. ἀθυρμα, καὶ μέλπηθρον.
Voluptas. γάνωμα, γλαφυρία, ἡδονή, ἥδος, ἡδυπάθεια, κηλημὸς, φιληδία, χλιδή.
Voluptuosus. ἀπολαυστικὸς, γλαφυρός, γλισχρός, ἡδυσμένος, ἡδύπνοος, λάρος, φιλήδονος, χλιδανός.
Voluptarius. ἡδυσμένος, λάρος.
Voluptuosus, tepidus, suauis, iocundus, comis, māsuet⁹. λάρος.
Voluptas, suauitas ue. γλαφυρία.
Volo, auolo ue. ἀποπτάω.
Volubilis. εὔδινος, ὀλόζοχος.
Vomer. ὕννυς.
Vomitus. ἐξέρευγμα, ἔμετος.
Vomo. ἐξερεύγομαι.
Vorax. λαίμαργος, λαφύστιος, λιχνός, τένθης, προτένθης, φάγος.
Vorator. μολοβρός.
Voro. λαφύσσω, λιχνεύω, τένθω, τένθω.
Voracitas. λαφυγμὸς, ἀδδηφαγία, λιχνεία, τενθεία.
Vorticosus. βαθυδίνης, δινήεις.
Vorator populorum, expilator. δημοβόρος.
Vos. ὔμμες.
Vobis. ὔμμιν. aliqui ambo hæc tenui inspirant.
Votū. εὐχωλή, εὐχή, προσευχή.
Voti compos. ἐπτυχής.
Votiuus. εὐκτός, εὐχήμων.
Voueo. ἐπεύχομαι, εὔχομαι.
Vox. αὐδή, γῆρυς, ἐνοπή, ἰά, κληδών, ὀμφή, ὄσσα, ὄψ, φθέγμα, φθόγγος, φθογγή, φωνή.
Vox gallinacea. κλωσμός.
Vox ueneratoria. τέττα, Sudas, inquit, uox natu minoris amici ad seniorem.
Vox, loquela ue. αὐδή.
Vox citharæ factitia. θρεττανελώ. Philoxenū aiūt dithyrābicum poetā, uel tragœdiaꝝ magistrū in amore Cyclopis, & Galateæ, imitatū eē citharæ sonū hoc nomine. Aliquot Sudas refert ei⁹ carmina, sed in hoc, uerbū exprimit. ἡ γοῦν κιθάρα κρουομένη τοιοῦτο μέλος ποιεῖ, θρεττανελώ.
Vpupa. ἔποψ. (θρεττανελώ.
Vrbanus. ἀστεῖος, κόμψος.
Vrbs. ἄστυ, πόλις, πτόλισμα, πτόλις, πτολίεθρον.
Vrbiū expugnator, ac populator πολίπορθος, πολιόπορθος.
Vrbis populator Vlysses apud Homerū, Cicero solū cēset insigniri hoc noīe Vlyssem, reperi tamē semel de Achille Iliados. φ. Αὐτὰρ ὅγ' ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον.
Vrbanitas. ἀστεϊσμὸς, κομψεία, χαριεντισμός.
Vrbanus sum. ἀστεΐζομαι.
Vrbi uicinus. ἀστυγείτων.
Vrceolus. ἀκρατοφόρον.
Vrgeo. ἀπείγω, ἐπείγομαι, σπουδάζω, ἐπαπείγω, κατεπείγω.
Vrgenter. ἐπαπείγως.
Vro. αἴθω, αἰθαλόω, δηΐάω, ἐμπρήθω, καυτηριάζω.
Vrens. αἴθοψ, αἶθος, αἶθοψ, αἴθων, διακαής, καυστικός.
Vrina. οὖρος.
Vrinæ difficultas. δυσουρία.
Vrinæ stillicidium. στραγγουρία.
Vrna. λάρναξ, σορὸς, σάμνος.
Vrtica. ἀκαλήφη.
Vrtica piscis. ἀκαλήφη.
Vrsus. ἄρκτος.

Vrsa.

Vrsa. ἄρκτος.
Vrsa septētrio. ἄρκτος.
Vro īguinū abscessus. βουβωνιῶ.
Vsura. τόκος, uel fœtus fœnus ue. τόκος.
Vsus. χρεία, χρέος, χῆσις.
Vsurpo. ἀντέχομαι, ἀντέχω, προ/(βάλλω.
Vsq; ἄχρι, ἄχρις, μέχρι.
Vsq; quo. ἕως ποτε, ἕως, ἕως πότε, ἑώσποτε.
Vsque nūc, populares aliqui, nos uero hactenus. εἰσέτι νῦν.
Vstiuus. δήϊος, κήλεος.
Vstulo. καυστηριάζω, κηλόω.
Vstio. ἔμπρησις, ἐμπρησμός.
Vssi. καῖα.
Vt. ἵνα, ὅπως, ὥστε, ὄφρα, ὡς.
Vterus. δελφύς, unde ἀδελφος, quia ex eodē utero. ἦτρον, μήτρα, νη/(δύς.
Vter. ἀσκος.
Vtriniū intercus morb⁹. ἀσκίτης.
Vter. ὁπότερος, πότερος.
Vterinus. ὁμογάστριος.
Vtinam. εἴθε, ὄφελον, ὤφελες.
Vtil'. εὔχρηστος, κερδαλέος, λυσιτελής, ὀνήσιμος, σύμφερος, συμφερτός σύμφορος, συντελής, χρήσιμος, χρηστός, ὠφελήσιμος, ὠφέλιμος
Vtilior. κέρδιος, ὠφελιμώτερος.
Vtilissimus. κέρδιστος.
Vtiliora. διαφέροντα.
Vtilitas. λυσιτέλεια, ὄνειαρ, ὄνησις, ὄφελος, πρῆξις, συντέλεια, ὠφέλεια.
Vtile. λῷον, προὔργον, σύμφορον, ὑγιές.
Vt breuiter dicā. συνελόντι φάναι
Vt ita dicā. ὡς ἔπος εἰπεῖν.
Vt sūmatī dicā. ὡς μὲν συνελόντι (εἰπεῖν.
Vtor. χράομαι.
Vterq;. ἀμφότερος, ἑκάτερος.
Vtraq;. ἑκατέρα.
Vtraq; uice, seu bis. ἑκατεράκις.
Vtrū. ὁπότερον, ποτέρα, πότερον.
Vtiq;. ἄρα, γέμην δήπουθεν, εἰκ. ἧκε.
Vtrinq;. ἀμφίς, ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑκατέρθεν, ἐπαμφότερα.
Vtrinq; acutus. ἀμφίγυος.
Vtrinq; agitat⁹. ἀμφιέλιασος.
Vtrinq; mouens. διπαλτός.
Vtrinq; cedēs. ἀμφήκη, ἀμφιπλήξ.
Vua. σταφυλή.
Vua acerba. ὄμφαξ.
Vuis abūdans. πολυστάφυλος.
Vulua. μήτρα, νηδύς.
Vua passa. σταφὶς, σταφίς.
Vulpes proprie, & lingua sicula, sed fera quoq;. κίναδος.
Vulpes albicāte cauda. λαμπουρά.
Vulpes. ἀλώπηξ, κερδαλέη, κερδώ, κερδαλεώτερος, κηλάς, κίναδος, βασσαρος.
Vulpinare. ἀλωπεκίζειν.
Vultus, προσωπεῖον, πρόσωπον. at Cicero, Græci, ait, quid sit uultus ītelligūt, nomē nō habent.
Vulnus. τραῦμα, ὠτειλή.
Vulneratus. οὐτάμενος, τραυματίας, τετρωμένος.
Vulnero. οὐτάζω, οὐτάσκω, οὐτάω,
Vulnerare. οὐτάμεναι. (τιτρώσκω.
Vultur. αἰγυπιός, γύψ.
Vulneratio. οὔτησις, τρῶσις.
Vulcanus. ἥφαιστος.
Vulcani cognomentū Hesiodo, ἀπάτωρ, Homero ἀμφιγυήεις.
Vulcanius. ἡφαίστιος.
Vulcani templum. ἡφαιστεῖον.
Vulgus. εἰκαῖον.
Vulgares. κοινίποδες.
Vulgaris. εἰκαῖος, ἰδιώτης, ἰδιῶτις,
Vulgo. πανδημεί. (ἰδιωτικός.
Vulgaui. διέπον.
Vulnerari. τραυματισθῆναι, τρωθῆναι.
Vulnera, plagæ uarietates. στίγματα.
Vulgo, as. φημίζω. (τα.
Vulnerabilis. τρωτός.
Vultū tristē p me fero. σκυθρωπάζω, ἀπὸ τοῦ σκυθῶν καὶ ὤψ.
Vxor. ἄκοιτις, ἄλοχος, γαμετή, δάμαρ, γυνή, παράκοιτις, σύγγαμος.
Vxorem duco. γαμέω.
Vxorius. ἀλοχιπικός.

XAnthicus mēsis apud Macedōas Aprilis. ξανθικός.
Xāthicus Bœotus qui duello ab Atheniensi Melantho est interēptus ξανθικός.
Xanthus historicus, qui Lydiacos libros quatuor reliquit. ξάνθος.
Xanthus fluuius. ξάνθος.
Xenarchus comicus. ξέναρχος. cuius actus bucaliorū, Porphyra, Scythæ, & Didymi, Pentathli, Priapus, Somnus, Miles.
Xanthus, & Balius equi Achillis. ξάνθος, καὶ βαλίος.
Xenetus uir. ξένετος.
Xenion uir. ξενίων.
Xenias uir. ξενίας.
Xenocrates Chalcedoni⁹ discipulus platōis ac successor Speusippi. ξενοκράτης. huic successit Polemō, cui Crantor. Sscripsit aūt de Platonis republica.
Xenocrates philosophus alter q scripsit domesticū, ac familiare augurium. ξενοκράτης.
Xenophanes. ξενοφάνης.
Xenophon philosophus Socraticus ξενοφῶν. Hic primus uitas philosophorū scripsit, cognominatusq; ē apis attica ob mellifluā eloquētiā, scripsit plīmos libros
Xenophon Socratis discipulus. ξενοφῶν.
Xenophon Antiocheus historic⁹. ξενοφῶν.
Xenophon Ephesius historicus. ξενοφῶν.
Xenophon Cyprius historicus. ξενοφῶν.
Xerxes Persarū rex. ξέρξης.
Xiris planta odorifera. ξίρις.
Xuthus, qui multo studio suppetias dedit Atheniēsibus, ex quo festa Boedromia Athēis. ξοῦθος.
Xypetæ ppl's ī Attica. ξυπεταιῶν.
Xylobalsamū. ξυλοβάλσαμον.

ZAbulon regio. ζαβουλών.
Zagreus bacchus. ζαγρεύς.
Zaleucus Locrus philosophus Pythagoreus. ζάλευκος.
Zamatium, catillūs ue. ζαμάτιον, βιβλίον.
Zambyce musicum instrumentum. ζαμβύκη.
Zamolxis scytha. ζάμολξις.
Zamolxis nomē Deæ. ζάμολξις.
Zelia urbs. ζέλεια.
Zelitas ciuis. ζελείτης.
Zeugla ps iugi extrema. ζεύγλη.
Zeuxidia, iugalis ue Iuno. ζευξιδία.
Zeuxitheus uir. ζευξίθεος.
Zeuxis pictor. ζεῦξις.
Zephyria, spiratio zephyri. ζεφυρία.
Zephyriō spiramē. ζεφύριον
Zephyrus uentus lenis. ζέφυρος
Zia ordeum. ζειά.

Zethus Amphiōis frater. ζῆθος.
Zenobius sophista. ζηνόβιος.
Zenodotus. ζηνόδοτος.
Zeno Eleates inuentor dialecti-ces. ζήνων.
Zeno Citieus Stoicæ sectæ dux & fons. ζήνων.
Zeno Sidonius huius discipulus ζήνων.
Zeno Chrysippi auditor Tarseus. ζήνων.
Zeno Alexādre⁹ Iudæus. ζήνων.
Zeno rex. ζήνων.
Zerynthium, uel zerynthū spelunca. ζηρύνθιον, ζήρυνθον.
Zetes Aquilonis puer. ζήτης.
Zeterium instrumentum ignis ferendi. ζητητήριον.
Zingiber odoramenti genus. ζιγγίβερ.
Zoilus Homeri flagrū. ζωΐλος.
Zonæus, qui epistolas amatorias scripsit. ζωναῖος.
Zopyrus, unde zopyri talenta prouerbium. ζώπυρος.
Zoroastres Persomeda, sapiens circa astronomica, magiæ inuētor, qui quatuor uolumina de natura condidit, de gēmis unū, quinq; de cōtemplandis syderibus. ζωροάστρης περσομήδης.
Zoromasdres Chaldæus sapiēs scripsit mathematica, & physica. ζωρομάσδρης.
Zosimus Alexandreus philosophus. ζώσιμος.
Zosimus Gazæus, ul' Ascalonites, qui scripsit de elemētis rhetoricis, etiā de Demosthene, & Lysia monimentum. ζώσιμος.
Zygæna piscis. ζύγαινα.
Zygia Iuno iugalis. ζυγία.
iugales equi. ζύγιοι.
Zythus, uel uinum ordeaceum. ζῦθος.

FINIS.

# ΑΜΜΩΝΙΟΥ ΠΕΡΙ ΟΜΟΙΩΝ ΚΑΙ ΔΙΑΦΟΡΩΝ ΛΕΞΕΩΝ.

Ἄβαξ, καὶ ἀβάκιον διαφέρει. ἄβαξ μὲν γὰρ ἐφ' οὗ τὰ πράγματα παρατιθέασιν. ἀβάκιον δ' ἐφ' οὗ ψηφίζουσιν. ἀβέβηλα, καὶ βέβηλα διαφέρουσιν ἀμφότερα ἐπ' ἀγαθῷ λαμβανόμενα. ἀβέβηλα μὲν γὰρ τὰ ἱερὰ, καὶ ἄψαυστα, καὶ μὴ βάσιμα. βέβηλα δὲ τὰ ὅσια μὲν οὐχ ἱερὰ δὲ, οἷον βάσιμα ὄντα. ἡ δὲ κοινὴ χρῆσις τοῦ βεβήλου τὴν ἀντιποτάτην ἔχει πρὸς τὸ ἀβέβηλον διαφοράν.

Ἄγγελος, καὶ ἐξάγγελος, καὶ αὐτάγγελος διαφέρουσιν. ἄγγελος μὲν γὰρ πᾶς ὁ ἀγγέλλων τὰ ἔξωθεν. ἐξάγγελος δὲ, ὁ τὰ ἔνδοθεν τοῖς ἔξω διαγγέλλων, ὃν Θουκυδίδης διάγγελον. ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι. αὐτάγγελος δὲ ὁ τὰ ἀφ' ἑαυτοῦ διαγγέλλων, καὶ μὴ ὑφ' ἑτέρου.

Ἄγειν, καὶ φέρειν διαφέρει. ἄγεται μὲν τὰ ἔμψυχα, φέρεται δὲ τὰ ἄψυχα. οἱ δ' ἦγον, ἔφερον δ' εὐήνορα οἶνον.

Ἀγχιστεῖς, καὶ συγγενεῖς, καὶ οἰκεῖοι διαφέρουσιν. ἀγχιστεῖς μὲν γὰρ οἷς ἐπειδάν τις ἐκ τοῦ γένους ἀποθάνῃ, συγχωρεῖ ὁ νόμος ἀντιποιεῖσθαι τῶν τοιούτων δικαίων. συγγενεῖς δὲ οἱ ὄντες ἐκ τοῦ αὐτοῦ γένους, οὐ καλούμενοι δὲ ὑπὸ τῶν νόμων ἐπὶ τὰ ἀγχιστικὰ δίκαια. οἰκεῖοι δὲ οἱ κατ' ἐπιγαμίαν ἐπιμιχθέντες τῷ οἴκῳ.

Ἀγροῖκος, καὶ ἄγροικος διαφέρει. προπερισπωμένως μὲν ὁ ἐν ἀγρῷ κατοικῶν, προπαροξυτόνως δὲ ὁ σκαιὸς τοὺς τρόπους.

Ἄγριος, καὶ ἀγρεῖος διαφέρει. ἄγριος μὲν γάρ ἐστιν ὁ ὠμός. ἀγρεῖος δὲ, ὁ ἄγροικος.

Ἀγνοεῖν, καὶ ἀμφαγνοεῖν διαφέρει. ἀγνοεῖν μὲν γάρ ἐστι τὸ καθόλου μηδὲν εἰδέναι, ἀμφαγνοεῖν δὲ τὸ ἔν τισιν ἐπιδιστάζειν.

Ἀγωνοθέται μὲν ἐπὶ τῶν σκηνικῶν λέγονται, ἀθλοθέται δὲ ἐπὶ τῶν γυμνικῶν.

Ἀγρονόμος, ἐὰν μὲν παροξύνωμεν, ἔστιν ὁ ἐν ἀγροῖς νεμόμενος. τὰ γὰρ προπαροξυνόμενα, χαίρουσιν ἀναλύεσθαι εἰς πάθη.

Ἀγοραῖος, ἐὰν προπαροξυτόνως, σημαίνει τὸν πονηρὸν τὸν ἐν ἀγορᾷ τεθραμμένον. ἐὰν δὲ προπερισπωμένως, σημαίνει τὸν ἐν ἀγορᾷ τιμώμενον.

Ἀδεής, καὶ ἀδαιής διαφέρει. ἀδεὴς μὲν γὰρ διὰ τοῦ ε ψιλοῦ, ὁ ἄφοβος. διὰ δὲ διφθόγγου, ὁ ἀμαθής.

Ἄελλα, καὶ θύελλα διαφέρει. ἄελλα μὲν ἄημα συνεστραμμένον. θύελλα δὲ ἄελλα θύουσα, καὶ ὁρμῶσα.

Ἆθλος, καὶ ἆθλον διαφέρει. ἀρσενικῶς μὲν γὰρ τὸν ἀγῶνα δηλοῖ. οὐδετέρως δὲ τὸ ἔπαθλον. οὗτος μὲν γὰρ ἄεθλος, ἄατος ἐκτετέλεσται. ἐπὶ δὲ τῶν ἐπάθλων ἀέθλια πόσσ' ἀνελόντες.

Ἀθῆναι, καὶ Ἀττικὴ διαφέρει. Ἀθῆναι μὲν γὰρ ἡ πόλις ἐστίν. Ἀττικὴ δὲ ἥ τε πόλις, καὶ ἡ χώρα.

Αἰτῶ, καὶ αἰτοῦμαι διαφέρει. τὸ μὲν γὰρ αἰτῶ ἐπὶ τῶν ἅπαξ τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δ' αἰτοῦμαι ἐπὶ τῶν χρήσασθαι εἰς ἀπόδοσιν. Μένανδρος ἐν τῷ ὑμνίδι διαστέλλει, οὐ πῦρ γὰρ αἰτῶ, οὐδὲ λοπάδ' αἰτοῦμαι.

Αἰδὼς, καὶ αἰσχύνη διαφέρει. ὅτι ἡ μὲν αἰδώς ἐστιν ἐντροπὴ πρὸς ἕκαστον ὡς σεβομένως τις ἔχει. αἰσχύνη δὲ ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται. ὡς μὴ δέον τι πράξας. καὶ αἰδεῖται μέν τις τὸν πατέρα. αἰσχύνεται δὲ ὃς μεθύσκεται. διαστέλλει δὲ Ἀριστόξενος ὁ μουσικὸς τὴν διαφορὰν ἐν τῷ πρώτῳ νόμῳ παιδευτικῶν. φησὶ γὰρ διαφορὰν τήνδε νομιστέον, αἰδοῦς τε, καὶ αἰσχύνης. ὅτι ἡ μὲν αἰδὼς πρὸς ἡλικίαν, πρὸς ἀρετὴν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν. ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι πρὸς ἑκάστην τῶν εἰρημένων ὑπεροχῶν προσέχεται οὕτως διακείμενος, οὐ διὰ τὸ ἡμαρτηκέναι τι, ἀλλὰ διὰ τὸ σέβεσθαι, καὶ τιμᾶν τὰς εἰρημένας ὑπεροχάς. ἡ δ' αἰσχύνη πρῶτον μὲν πρὸς πάντα ἄνθρωπον, ἔπειτα ἐπὶ τοῖς νομιζομένοις αἰσχροῖς.

Αἶνος, καὶ παροιμία διαφέρει. ὁ μὲν γὰρ αἶνος ἐστὶ λόγος κατὰ ἀναπόλησιν μυθικὴν ἀπὸ ἀλόγων ζώων, ἢ φυτῶν, πρὸς ἀνθρώπους εἰρημένος, ὥς φησι Λούκιος Ταρραῖος ἐν τῷ πρώτῳ παροιμιῶν. οἷον ἀπὸ μὲν ἀλόγων ζώων, ὡς παρ' Ἀρχιλόχῳ. αἶνός τις ἀνθρώπων ὅδ' ὡς ἄρ' ἀλώπηξ τε, κἀετὸς ξυνωνίαν ἔθεντο, καὶ τὰ ἑξῆς. καὶ πάλιν ὅταν λέγῃ, ἐρέω τιν' ὑμῖν αἶνον ὦ Κηρυκίδη, ἀχνυμένη σκυτάλη. εἶτ' ἐπιφέρει, πίθηκος ᾔει θηρίων ἀποκριθεὶς μοῦνος ἂν ἐσχατιήν, τῷ δ' ἄρ' ἀλώπηξ κερδαλῆ συνήντετο πυκνὸν ἔχουσα νόον. καὶ Ἡσίοδος, νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω, νοέουσι καὶ αὐτοῖς. ᾧ δ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον. ἀπὸ δὲ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ. ἄκουε δὴ τὸν αἶνον, ἐν κότε Τμώλῳ δάφνην ἐλαίῳ εἰκὸς οἱ παλαιοὶ Λυδοὶ λέγουσι θέσθαι, καὶ τὰ ἑξῆς. καὶ ἔστιν ὁ αἶνος ἐξηπλωμένη παροιμία μετὰ διηγήσεως ἀπαρτίζουσα τὸ νοούμενον, πρὸς παραμυθίαν τε, καὶ ὠφέλειαν ἀνθρώπων. παροιμία δὲ ἡ τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει ἐνδέουσαν τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδεχομένην μετάβασιν. οἷον μένε βοῦς ποτ' ἐν βοτάνῃ. καὶ, ἄκαιρος μετ' ἀνθεστήρια.

Αἴθε, καὶ ὄφελον διαφέρει. τὸ μὲν γάρ ἐστιν ἀπαρεμφάτων προσώπων. τὸ δ' ὄφελον ἐμφαίνει πρόσωπα, οἷον ὄφελον ἐγώ. ὄφελες σύ, ὄφελον ἐκεῖνος. διὸ τὸ αἴθε ἐστὶν ἐπίρρημα, τὸ δ' ὄφελον ῥῆμα.

Αἰκίαι, καὶ ὕβρεις διαφέρουσιν. αἰκίαι μὲν γάρ εἰσιν αἱ ἄνευ προπηλακισμοῦ πληγαί, καθὰ

καὶ Δημοσθένης ὁ ῥήτωρ φησίν. ὕβρισμαι μὲν ἐγώ, προπεπηλάκισται δὲ τὸ σῶμα.

Αἰπόλος, καὶ ποιμὴν διαφέρει. αἰπόλος μὲν γὰρ ὁ ἐπὶ τῶν αἰγῶν τεταγμένος νομεύς. ποιμὴν δὲ ἐπὶ τῶν προβάτων.

Ἀκταὶ, καὶ θῖνες διαφέρουσιν. ἀκταὶ μὲν γάρ εἰσιν οἱ πετρώδεις τόποι τῆς θαλάσσης. θῖνες δὲ οἱ ἀμμώδεις.

Ἀκόντιον, δόρατος διαφέρει. ἀκόντιον μὲν γὰρ τὸ ἀκοντιζόμενον ἔλαττον δόρατος. δόρυ δὲ τὸ μεῖζον ᾧ ἐκ χειρὸς ἐχρῶντο. παρὰ δὲ ὁμήρῳ, καὶ τὸ δόρυ προϊέναι.

Ἀκαιρία, ἀσχολίας διαφέρει. ἀκαιρία μὲν γάρ ἐστιν ἔνδεια καιροῦ ἐπιτηδείου, ἀσχολία δὲ ἡ περί τι ἄλλο ἀναστροφή.

Ἀκαρὴς, σὺν τῷ ς, καὶ ἀκαρῆ ἄνευ τοῦ ς διαφέρει. ἀκαρῆ μὲν γὰρ ἄνευ τοῦ ς σημαίνει τὸ βραχύ. οἷον οὐδ' ὅσον ἀκαρῆ τῆς τύχης ἐπίσταμαι. ἀκαρὴς δὲ σημαίνει τὸ παραβραχὺ ὄν. κατέπεσον ἀκαρὴς τῷ δέει.

Ἀληθὲς, καὶ ἄληθες διαφέρει. ἀληθὲς μὲν γὰρ ὀξυτόνως, ἐναντίον τῷ ψεύδει. ἄληθες δὲ προπαροξυτόνως, τὸ κατ' ἐπερώτησιν λεγόμενον.

Ἀλοᾶν, καὶ ἀλοιᾶν διαφέρει. ἀλοᾶν μὲν τὸ δασέως, ἐπὶ τῆς ἅλω πατεῖν, καὶ τρίβειν τοὺς στάχυας. ἀλοιᾶν δὲ ψιλῶς, τὸ τύπτειν. ἀριστοφάνης. ἣ μητέρ' ἠλοίησεν, ἢ παιδὸς γνάθον ἐπάταξεν; ἀφ' οὗ καὶ μητραλοίαν φαμὲν, καὶ πατραλοίαν.

Ἀλλοίωσις, ἑτεροιώσεως διαφέρει. ἀλλοίωσις μὲν γὰρ οὐ μόνον μεταχαρακτηρισμὸς, ἀλλὰ καὶ τῆς πρότερον ὑπολήψεως οἴησις ἑτέρα. ἑτεροίωσις δὲ ὅταν ἐφ' ἑτέρου χρώματος εἰς ἕτερον μεταβάλλει.

Ἅλιπαστον, καὶ ἁλίπαρτον διαφέρει. τὸ μὲν γὰρ ἁλὶ πεπασμένον κρέας, ἢ ἰχθῦν, ἔλεγον ἁλίπαστον. ἁλίπαρτον δὲ τὴν ἁλὶ ἐπαρμένην χώραν, ὥς τινων φθονερῶν τοῦτο ποιούντων. ὅθεν καὶ ὁ βίος τοὺς ἠκισμένους, καὶ δυσθεραπεύτως ἔχοντας τὰ σώματα ἁλιπαρέας καλεῖ.

Ἄλλος, καὶ ἕτερος διαφέρει. ἕτερος μὲν γὰρ ἐπὶ δυοῖν, ἄλλος δὲ ἐπὶ πλειόνων.

Ἁματροχία καὶ ἁρματροχία διαφέρει. ἁματροχία μὲν γάρ ἐστιν ἡ ταυτοσυνδρομὴ τῶν ἁρμάτων. εἶχε Μενέλαος ἁμαξοχίας ἀλεείνων. ἁρμαξοχία δὲ ὁ τύπος, καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ ἡ ἐπὶ τῆς γῆς. οὐδέ τι πολλὴ γίνεται ἐπισώτρου ἁρματροχίη κατόπιν.

Ἀμυγδαλῆ, καὶ ἀμυγδάλη διαφέρουσιν. ἀμυγδαλῆ μὲν γὰρ περισπωμένως τὸ δένδρον δηλοῖ. ἀμυγδάλη δὲ παροξυτόνως τὸν καρπόν. καθὰ καὶ εὔπολις ἐν ταξιάρχοις φησί δίδου μασᾶσθαι ἀξίας ἀμυγδάλας.

Ἅμα, καὶ ὁμοῦ διαφέρει. ἅμα μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα. ὁμοῦ δὲ τοπικόν. σόλων μὲν γὰρ ἅμα ἐγένετο ἀναχάρσει τῷ σκύθῃ, εἴπερ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν ὁμοῦ μέν τι οὐκέτι. οὐ γὰρ ἐν τῷ αὐτῷ ἐγεννήθησαν. ἀλλ' ὁ μὲν ἀ-



θήνησιν, ὁ δ' ἐν σκυθίᾳ καὶ ὅμηρος δασέλλει. ἔνθ' ἅμα οἰμωγή τε, καὶ εὐχωλὴ πέλεν ἀνδρῶν ὀλλύντων, καὶ ὀλλυμένων, ἀντὶ κατὰ τὸν αὐτὸν χρόνον. καὶ αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι, οἱ δ' ἅμα πάντες ἐφ' ἵπποιιν μάστιγας. ἐπὶ τοπικοῦ δὲ, τῇ ὁμοῦ ἐξεφόμην. καὶ πάλιν ἄλλοθ' ὁμοῦ πίνακές τε κρεῶν, καὶ σώματα φωτῶν. ἀντὶ τοῦ ἐν αὐτῷ τῷ τόπῳ. τοῦπερ δὴ καὶ δύο παῖδε λάβε κρείων Ἀγαμέμνων, ἐν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ' ἔχον ὠκέας ἵππους. ἐσθ' ὅτε δ' ὁ ποιητὴς τὸ ὁμοῦ καὶ ἐπὶ χρονικοῦ τάσσει ἐπιρρήματος, ὥς φησιν Ἀσκληπιάδης. εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ, καὶ λοιμὸς ἀχαιούς. εἰ μὴ ἄρα τις εἴποι καὶ νῦν δὲ ὁμοῦ ἐν τῷ αὐτῷ τόπῳ, οἷον ἐν τροίᾳ ὅτε λοιμός, καὶ ὁ πόλεμος δαμάζει τοὺς ἀχαιούς.

Ἀμφότεροι, καὶ ἑκάτεροι διαφέρουσιν. ἀμφότεροι μὲν γὰρ ἐροῦμεν, ὅταν ἐν τῷ αὐτῷ κατὰ τὸ αὐτὸ πράττωσιν. ἀμφότεροι τὴν δοκὸν μίαν οὖσαν φέρουσιν. ἑκάτεροι δὲ ἐπειδὰν χωρὶς ἑκάτερος τὸ ἑαυτοῦ πράττῃ. οἷον ἑκάτερος αὐτῶν δοκὸν φέρων. ἤτοι ὅταν ἑκάτερος αὐτῶν μίαν φέρῃ κατ' ἰδίαν.

Ἀμύνεσθαι, καὶ ἀμύνειν διαφέρει. ἀμύνεσθαι μὲν γάρ ἐστι τὸ κολάζειν τοὺς προαδικήσαντας, ἀμύνειν δὲ τὸ βοηθεῖν.

Ἁμαρτάνει, ὁ πλημμελῶν. διαμαρτάνει δὲ ὁ ἀποτυγχάνων.

Ἄμητος, καὶ ἀμητὸς διαφέρει. ἄμητος μὲν γὰρ προπαροξυτόνως, σημαίνει αὐτὰ τὰ θερίσματα, τουτέστι τὸν καρπόν. ὀξυτόνως δὲ ὁ καιρὸς τοῦ θερισμοῦ, ὥσπερ καὶ ὁ τρυγητὸς τοῦ τρυγᾶν.

Ἄμαθος, καὶ ψάμαθος διαφέρει. ἄμαθος μὲν γὰρ ἡ ἐν πεδίῳ κόνις. ψάμαθος δὲ ἡ παραθαλασσία ἄμμος.

Ἀνακεῖσθαι, καὶ κατακεῖσθαι διαφέρει. ἀνάκειται μὲν γὰρ ὁ ἀνδριὰς, καὶ ἡ εἰκὼν πρὸς τὴν κατὰ τιμήν. κατάκειται δὲ ὁ εὐωχούμενος.

Ἀνδραγάθημα, καὶ ἀνδρία διαφέρει. ἀνδραγάθημα μὲν γάρ ἐστιν εἰ καὶ τὴν ψυχικὴν ἀρετὴν ἔχει μαρτυροῦσαν. ἀνδρία δὲ δύναμις ἐπαινουμένη.

Ἀνοχὴ καὶ ἐπικηρυκία διαφέρει. ἀνοχὴ μὲν γάρ ἐστιν ἡ ἐν πολέμῳ διά τινα χρείαν ἀναβολὴ κατὰ συνθήκην, κοινῇ τοῦ ἐπιέναι ἀλλήλοις. ἐπικηρυκία δέ ἐστιν, ὅταν οἱ ἕτεροι πέμπουσι τοὺς αἰτησομένους ἀνοχὰς, ἢ σπονδὰς, ἢ εἰρήνην.

Ἀνάμνησις, καὶ ὑπόμνησις διαφέρει. ἀνάμνησις γάρ ἐστιν, ὅταν τις ἔλθῃ εἰς μνήμην τῶν παρεληλυθότων. ὑπόμνησις δὲ ὅταν ὑφ' ἑτέρου εἰς τοῦτο προαχθῇ.

Ἀναβάλλεσθαι, καὶ ὑπερτίθεσθαι διαφέρει. ἀναβάλλεσθαι μὲν γάρ ἐστι τὸ προΐεσθαι, καὶ παριέναι τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων. ὑπερτίθεσθαι δὲ τὸ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων.

Ἀνακωχὴ, καὶ ἀνοκωχὴ διαφέρει. ἀνακωχὴ μὲν γάρ ἐστιν ἡ ἐπὶ τῶν νέων ἀναχώρησις. ἡ δὲ διὰ τοῦ ο

ἀνοκωχὴ,

ἀνοκωχὴ, ἀνοχὴ μακρὰ πολέμου. διοκωχὴ, καὶ ἀκωχὴ διάλειψίς τις, καὶ ἄνεσις.

Ἀνάλγητος, καὶ ἀναλγὴς διαφέρει. ἀνάλγητος μὲν γάρ ἐστιν ὁ ἀνεπίστρεπτος τοῦ καθήκοντος. ἀναλγὴς δὲ ὁ μὴ ἀλγῶν.

Ἄντικρυς, καὶ ἀντικρὺ διαφέρει. ἀντικρὺ μὲν γὰρ τὸ ἐπ' εὐθείας, καὶ ἐξεναντίας χωρὶς τοῦ σ, ὡς κατάντικρυ. ἄντικρυς δὲ τὸ διαρρήδην καὶ φανερῶς, καὶ ἐπ' εὐθείας τοπικόν.

Ἀναβάτης, καὶ ἐπιβάτης διαφέρει. ἀναβάτης μὲν γὰρ ἐπὶ ἵππου. ἐπιβάτης δὲ ἐπὶ νηός.

Ἀναστῆναι, καὶ ἐγερθῆναι διαφέρει. ἀναστῆναι μὲν ἐπὶ ἔργου. ἐγερθῆναι δὲ ἐξ ὕπνου.

Ἀναγόμενοι, καὶ ἐγερθέντες διαφέρει. ἀνήγοντο μὲν γὰρ οἱ πλέοντες ἀναγόμεναί τε αἱ νῆες. ἀνήχθησαν δέ τινες εἰς τὸ στρατηγεῖον.

Ἀνεψιοὶ, καὶ ἐξανεψιοὶ διαφέρουσιν. ἀνεψιοὶ μὲν γάρ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες. ἐξανεψιοὶ δὲ οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἀναγκάζειν, καὶ βιάζεσθαι διαφέρει. ἀναγκάζειν μὲν γάρ ἐστιν ἐπὶ ἐμψύχων. βιάζεσθαι δὲ ἐπὶ ἀψύχων, οἷον βιάζεσθαι τὴν ναῦν.

Ἄναρχον, καὶ ἀναίτιον διαφέρει. ὅτι τὸ μὲν ἀναίτιον πρὸς ἕτερον λέγεται. τὸ δ' ἄναρχον πρὸς ἑαυτόν.

Ἄντρον, καὶ σπήλαιον διαφέρει. ἄντρον μὲν τὸ αὐτοφυὲς κοίλωμα. σπήλαιον δὲ τὸ χειροποίητον.

Ἄνοια, καὶ ἀφροσύνη διαφέρει. ἀνόητος μὲν γάρ ἐστιν ὁ μηδὲν νοῶν. ἄφρων δὲ ὁ νοῶν μὲν, οὐ φρονίμως δὲ διοικῶν.

Ἄξονες, καὶ κύρβεις διαφέρει. οἱ μὲν ἄξονες ἦσαν τετράγωνοι. οἱ δὲ κύρβεις τρίγωνοι. καὶ οἱ μὲν ἄξονες εἶχον τοὺς ἰδιωτικοὺς ἐγγεγραμμένους. οἱ δὲ κύρβεις δημοσίας ἱεροποιΐας, καὶ εἴ τι ἕτερον τοιοῦτον.

Ἀξιόχρεως μέν ἐστιν ὁ ἐκλύσαι τι ἱκανός. ἀξιόπιστος δὲ ὁ πιστεύεσθαι ἄξιος.

Ἀξίωμα μέν ἐστι τὸ καθ' ὑπερβολὴν διαπρέπον. ἀξία δὲ ἡ ἐκ δοκιμασίας διαρέστησις.

Ἀποστάσιος, ἀπροστασίου διαφέρει. ἀποστασίου μὲν δίκην ἔλεγον, ὁπότε ἀπελεύθερος κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου. ἀπροστασίου δὲ ὁπότε μέτοικος ἐγκαλοῖτο ὡς μὴ ἔχων προστάτην.

Ἀποκήρυκτος, καὶ ἐκποίητος διαφέρει. ἀποκήρυκτος μὲν γάρ ἐστιν, ὁ ἐπὶ ἀδικήματι ὑπὸ τοῦ πατρὸς ἐξελαθεὶς τῆς οἰκίας. ἐκποίητος δὲ ὁ δοθεὶς ὑπὸ τοῦ πατρὸς εἰς υἱοθεσίαν ἄλλῳ. ὃ λέγουσιν εἰσποίητος γέγονεν.

Ἀπολογεῖσθαι, καὶ ἀπολογίζεσθαι διαφέρει. ἀπολογεῖσθαι μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν. ἀπολογίζεσθαι δὲ τὸ ἀποδοῦναι τὸν λόγον τῶν διαπραγμάτων. καὶ γὰρ τὸ ἁπλοῦν λογίζεσθαι, καὶ λογεῖσθαι, ἀριθμεῖσθαι.

Ἀποδρᾶναι, καὶ ἀποφεύγειν διαφέρει. ἀποδρᾶναι μὲν γὰρ τὸ ἀναχωρήσαντά τινα ἄδηλον εἶναι ὅπου ἐστίν. ἀποφεύγειν τὸ μὴ δύνασθαι ἐπιληφθῆναι. λέγει δὲ Ξενοφῶν τὴν διαφορὰν ἐν τῇ ἀναβάσει οὔτε ἀποδεδράκασιν. οἶδα γὰρ ὅπου οἴχονται, οὔτε ἀποφεύγουσιν.

Ἀπὸ, καὶ παρὰ διαφέρει. ἡ μὲν γὰρ ἀπὸ τίθεται ἐπὶ τῶν ἀψύχων. οἷον ἀπ' Ἀθηνῶν. ἡ δὲ παρὰ, ἐπὶ τῶν ἐμψύχων, οἷον παρὰ Σωκράτους. οἱ ἐναλλάσσοντες δὲ ἁμαρτάνουσιν, ἢ ἀλλῃ προθέσει ὡς χρῶνται, ὡς καὶ Ὅμηρος. παρὰ νηῶν ἀνιόντε, ἀντὶ τοῦ ἀπὸ τῶν νηῶν. ὡς καὶ ἀλλαχοῦ φησι κυρίως οὔτε ποτὲ προὐτρέποντο μελαινάων ἀπὸ νηῶν.

Ἀπελεύθερος, καὶ ἐξελεύθερος διαφέρουσι. ἀπελεύθερος μὲν γάρ ἐστι ὁ ἐκ δούλου ἠλευθερωμένου. ἐξελεύθερος δὲ ὁ γενόμενος διὰ χρέα προσήλυτος, ἢ κατὰ ἄλλην τινὰ αἰτίαν δουλεύσας, εἶτα ἐλευθερωθείς. ἤδη μέντοι καὶ ἀδιαφόρως χρῶνται τοῖς ὀνόμασιν.

Ἀποφορὰ, καὶ εἰσφορὰ διαφέρει. ἀποφορὰ μὲν γάρ ἐστι τὰ ἀπὸ τῶν δούλων τοῖς δεσπόταις παρεχόμενα χρήματα. ἣν καὶ ἀναφορὰν καλοῦσιν. εἰσφορὰ δὲ τὰ ὑπὸ τῶν πολιτῶν.

Ἀποκριθῆναι, καὶ ἀποκρίνασθαι διαφέρει. ἀποκριθῆναι μὲν γάρ ἐστι τὸ ἀποχωρισθῆναι. ἀποκρίνασθαι δὲ τὸ ἐρωτηθέντα λόγον δοῦναι.

Ἀπονίψασθαι, καὶ κατὰ χειρὸς ὕδωρ αἰτῆσαι διαφέρει. ἀπονίψασθαι μὲν γάρ ἐστι μετὰ τὸ φαγεῖν. κατὰ χειρὸς δὲ ὕδωρ αἰτῆσαι, πρὸ τοῦ φαγεῖν.

Ἀποφορὰ, καὶ ἀναφορὰ διαφέρει. ἀποφορὰ μὲν γάρ ἐστιν ὁ νῦν καλούμενος φόρος. ἀναφορὰ δὲ ὁ ἀπὸ τῶν εὐωδῶν, ἢ δυσωδῶν ἀναφερόμενος ἀσμός.

Ἀπέθανε, καὶ τέθνηκε διαφέρει. ἀπέθανε μὲν νῦν. τέθνηκε δὲ πάλαι. ὡς περιεπάτησε μὲν ὁ δεῖνα σήμερον. περιπεπάτηκε δὲ πάλαι.

Ἀπόδοσις, μὲν ἀψύχου λέγεται. ἀποκατάστασις δὲ ἐμψύχου, καὶ ἀγομένου.

Ἄρχειν, καὶ κρατεῖν διαφέρει. ἄρχει μὲν γὰρ τὸ τινῶν ἐπ' ὠφελείᾳ προΐστασθαι. κρατεῖν δὲ τὸ βίᾳ τινὰς ἄγειν ὑπακουομένους ἐπὶ δουλείᾳ. καθὸ καὶ τῶν θηρίων κρατεῖν ἀλλ' οὐκ ἄρχειν λέγεται.

Ἁρπαγὴ, καὶ ἁρπάγη διαφέρει παρὰ τοῖς παλαιοῖς Ἀττικοῖς, ὥς φησι Τρύφων ἐν τῷ τρίτῳ τῆς Ἀττικῆς προσῳδίας. ἐὰν μὲν τῇ ὀξυτόνῳ προσενεγκώμεθα καθάπερ ἐν τῇ συνηθείᾳ, τὴν αἰφνίδιον, καὶ μετὰ βίας ἀφαίρεσιν δηλώσει. ἐὰν δὲ βαρυτόνως ἁρπάγην, ὡς ἀνάφην, ἐν ἣ ἐκ τῶν φρεάτων τοὺς κάδους ἐξαίρουσι. καὶ παρὰ Μενάνδρῳ ἀναγινώσκομεν ποτήριον, τράπεζαν, ἁρπάγην. δεύτερον κάδον, καὶ ἐν ἡνιόχῳ τὸν παῖδα δ' οὐ δίδομεν. ἀλλ' ἁρπάγην αὐτῷ κατασκευάζομεν.

Ἄρα, καὶ ἆρα διαφέρει. ὁ μὲν τῇ κατὰ περισπασμὸν λεγόμενος σύνδεσμος ἀπορηματικός ἐστιν, ὃ ἀπορῶντες λέγομεν. ἆρα τέλος ἕξει τὸ πρᾶγμα; ὁ δὲ κατὰ συστολὴν συλλογιστικός. εἰ ἡμέρα ἐστί, φῶς ἐστι, ἀλλὰ μὴν ἡμέρα ἐστὶ, φῶς ἄρα ἐστί. εἰ τοῦτο συμφέρον ποιεῖν, ποιητέον ἡμῖν ἄρα ἐστί.

Ἄρτι, καὶ ἀρτίως διαφέρει. ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα. τὸ δ' ἀρτίως ἐπὶ τοῦ ἀπηρτισμένου ἔργου τελείως. ὥς τε ἁμαρτάνει Σαπφὼ λέγουσα ἀρτίως μὲν ἁ χρυσοπέδιλος αὔ,

ὡς ἀντὶ χρονικοῦ ἐπιῤῥήματος. παρὰ δὲ τοῖς Ἀττικοῖς ἀρτίως σημαίνει αὐτῆς τῆς ὥρας, τὸ δ' ἄρτι παρατατικὸς, καὶ ἐπὶ τοῦ παρῳχηκότος.

Ἀράχνη, καὶ ἀράχνιον διαφέρει. ἀράχνη μὲν γὰρ θηλυκῶς τὸ ὕφασμα, καὶ οὐδετέρως τὸ ἀράχνιον. ἀρσενικὸς δὲ ὁ ἀράχνης τὸ ζῶον.

Ἄρνες, καὶ ἀρνειοὶ διαφέρουσιν. ἄρνες μὲν γὰρ λέγονται οἱ νεογνοί. ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον. ἀρνειοὶ δὲ οἱ προήκοντες τῇ ἡλικίᾳ, ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ. ὅς οἴων μέγα πῶυ.

Ἄῤῥωστος, καὶ ἀῤῥωστῶν διαφέρει. ἄῤῥωστος μὲν γὰρ ὁ νοσῶν. ἀῤῥωστῶν δέ ἐστιν ὁ ἀδυνατῶν ἐπιτελεῖν τὰ κατὰ τὰς ὀρέξεις, ὡς Ἀριστοφάνης φησίν.

Ἀῤῥωστεῖν τοῦ νοσεῖν διαφέρει. ἀῤῥωστεῖ μὲν γὰρ ὁ κακεκτῶν τῷ σώματι. νοσεῖ δὲ ὁ κλινήρης.

Ἀῤῥωδεῖν, καὶ ὀῤῥωδεῖν διαφέρει. τὸ μὲν γὰρ διὰ τοῦ ο σημαίνει τὸ εὐλαβεῖσθαι. οὕτως γὰρ ἐξηγοῦνται τὴν λέξιν. ὄῤῥος λέγεται ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὅν τινες ταῦρον λέγουσιν. ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀῤῥοπύγιον καλεῖται. οὐχ ὡς τινες ἀγνοοῦντες ὀρθοπύγιον. ἐτύμως δ' εἴρηται ὄῤῥος ὢν τῆς πυγῆς, καὶ οἱονεὶ ὀῤῥοπύγιον. οἱ δ' εὐλαβούμενοι περί τινος, ἀντισπᾶν εἰώθασι τὸ αἰδοῖον. πολλάκις δὲ καὶ τὰ ἄλογα τῶν ζώων ὑποστέλλειν εἰώθασι τὴν οὐράν, ὅταν εὐλαβῆται. εὐλόγως οὖν ἐκ τοῦ παρακολουθοῦντος τὸ ὀῤῥωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι, καὶ Εὐριπίδης τὸν Πέρσεα λέγοντα εἰσάγει. τὰς γὰρ συμφορὰς τῶν κακῶς πεπραγότων οὔπω πρὸ τοῦ ὑβρίσαι αὐτὸς ὀῤῥωδῶ παθεῖν. καὶ τὸ μὲν ὀῤῥωδεῖν τοιοῦτον. τὸ δ' ἀῤῥωδεῖν, οἷον κατὰ στέρησιν. τουτέστι μὴ εὐλαβεῖσθαι. ἀλλὰ καταφρονεῖν, καὶ τεθαῤῥηκέναι.

Ἀσφόδελος, καὶ ἀσφοδελὸς διαφέρει. προπαροξυτόνως μὲν γὰρ τὸ φυτόν. ὀξυτόνως δ' ὁ τόπος, κατ' ἀσφοδελὸν λειμῶνα.

Ἀστεῖος, καὶ ἀστικὸς διαφέρει. ἀστεῖος μὲν γὰρ ὁ πιθανὸς, καὶ χαρίεις, ἢ καθόλου ἐπιδέξιος ἐν πολιτικῇ ὁμιλίᾳ. ἀστικὸς δὲ ὁ ἐν ἄστυ διατρίβων.

Ἄστρον, καὶ ἀστὴρ διαφέρει. ἄστρον μὲν γάρ ἐστι τὸ ἐκ πολλῶν ἀστέρων μεμορφωμένον ζώδιον. οἷον ὠρίων, ἄρκτος. ἀστὴρ δὲ ὁ εἷς.

Ἀτέχνως, καὶ ἀτεχνῶς διαφέρει. τὸ μὲν γὰρ παροξύτονον σημαίνει τὸ χωρὶς τέχνης, καὶ ἀμαθῶς. τὸ δὲ περισπώμενον τίθεται ἀντὶ τοῦ ἁπλῶς, καὶ ἀδήλως, καὶ καθάπαξ, καὶ καθόλου, ἄντικρυς, ἢ φανερῶς.

Ἀτιμοῦται, καὶ ἀτιμάζεται διαφέρει. ἀτιμοῦται μὲν γάρ τις ὑπὸ τῶν νόμων ὁλοσχερεῖ ἀτιμίᾳ. ἀτιμάζεται δὲ ὁ ὑβριζόμενος ἔν τινι πράγματι.

Ἄττα ψιλούμενον, καὶ δασυνόμενον διαφέρει. ψιλούμενον μὲν γὰρ σημαίνει τὸ τινά, δασυνόμενον δὲ τὸ ἅτινα.

Ἀτελὲς, καὶ ἀτέλεστον διαφέρει. ἀτελὲς μὲν γάρ ἐστι τὸ μήπω τετελεσμένον, ἀτέλεστον δὲ τὸ ἀδύνατον τελεσθῆναι. οἱ οὖν ἐναλλάσσοντες ταῦτα, ἀκυρολογοῦσιν.

Αὐχὴν, καὶ δέρη διαφέρει. αὐχὴν μὲν γὰρ λέγεται τὸ ὄπισθεν τοῦ τραχήλου. δέρη δὲ τὸ ἔμπροσθεν. καθό ἐστιν ἡ φάρυγξ.

Αὖθις, καὶ αὖθι χωρὶς τοῦ σ διαφέρει. τὸ μὲν αὖθις ἐστὶ τὸ πάλιν, ἢ μετὰ ταῦτα. τὸ δ' αὖθι αὐτόθι. κακῶς οὖν Καλλίμαχός φησιν αὖθι τὸ δ' ἐκλύοιμι, ἀντὶ τοῦ μετὰ ταῦτα.

Αὖτις διὰ μὲν τοῦ τ, σημαίνει τὸ πάλιν. διὰ δὲ τοῦ θ, τὸ ὕστερον.

Ἄχρι χωρὶς τοῦ σ χρονικὸν ἐπίῤῥημα. ἄχρις δὲ μετὰ τοῦ σ ἀντὶ τοῦ ἀκριβῶς ἀπέκοψαν.

Βασιλεὺς, κοίρανος, καὶ ἡγεμὼν διαφέρει. βασιλεὺς μὲν γάρ ἐστιν ὁ πατρόθεν, ἢ ἀπὸ γένους τὴν ἀρχὴν παραλαβών. κοίρανος δὲ ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ἐπιτελῶν. οἷος ἦν πρὸ τῆς μήνιδος ὁ Ἀχιλλεὺς, ὥσγε κοιρανέων δίεπε στρατόν. ἡγεμὼν δέ ἐστιν ὁ τάξεως στρατιωτικῆς ἡγούμενος. ὡς ὁ ποιητής φησιν. αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι.

Βάρβαρον, καὶ βαρβαρικὸν διαφέρει. βάρβαρον μὲν γάρ ἐστιν ὄνομα τὸ οὐχ ἑλληνικόν. βαρβαρικὸν δὲ τὸ τῶν βαρβάρων.

Βάραθρος, καὶ βάραθρον διαφέρει. βάραθρος μὲν γὰρ ὁ βαράθρου ἄξιος ἄνθρωπος. βάραθρον δὲ ὄρυγμά τι Ἀθήνησι εἰς ὃ τοὺς κακούργους ἐνέβαλλον. ὥσπερ οἱ Λακεδαιμόνιοι τοὺς καταδικαζομένους ἔβαλλον εἰς τὸν κεάδα.

Βασιλεῖα, καὶ βασίλεια διαφέρει. προπερισπωμένως ἡ βασιλέως ἀρχή. προπαροξυτόνως δὲ, ἡ βασιλέως γυνή.

Βᾶρις μέν ἐστιν αἰγύπτιον πλοῖον, λέγεται δὲ καὶ ἡ μεγάλη οἰκία, ὡς ὑπὸ Φιλίππου.

Βάσανος, ἥ τε δοκιμασία, καὶ ἡ τῶν πληκτῶν. βασκαίνειν οὐ μόνον τὸ φθονεῖν, ἀλλὰ καὶ τὸ συκοφαντεῖν, ὡς Δημοσθένης, ἐν τῷ περὶ στεφάνου. ἄν τι δύσκολον συμβῇ τοῦτο βασκαίνουσιν.

Βεβλῆσθαι, καὶ οὐτᾶσθαι διαφέρει. βεβλῆσθαι μὲν γάρ ἐστιν ἐκ βολῆς τετρῶσθαι, καὶ ἐκ τῶν ἐναντίων. οὐτᾶσθαι δὲ τὸ ἐκ χειρὸς τετρῶσθαι.

Βιοῦν, καὶ ζῆν διαφέρει. βιοῦν μὲν γὰρ ἐπὶ ἀνθρώπων μόνων λέγεται. ζῆν δὲ ἐπὶ ἀνθρώπων καὶ ἀλόγων ζώων, ἤδη δέποτε καὶ ἐπὶ φυτῶν.

Βίος, ζωῆς διαφέρει. βίος μὲν ἐπὶ τῶν λογικῶν τάσσεται ζώων, τουτέστιν ἀνθρώπων μόνον. ζωὴ δὲ ἐπὶ ἀνθρώπων, καὶ ἐπὶ τῶν ἀλόγων ζώων. ἐντεῦθεν Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτως, βίος ἐστὶ λογικὴ ζωή. ὁ γοῦν ἐπὶ τῶν θηρίων βίον τάσσων, ἀκυρολογεῖ.

Βιῶναι μέν ἐστι τὸ ζῆν. βιοτεύειν δὲ τὸ πορίζειν τὰ πρὸς τὸν βίον. βιοῦν μὲν φήσομεν ἀνθρώπους, ζῆν δὲ καὶ τὸ ἄλογον ζῶον.

Βλέπειν, καὶ θεᾶσθαι διαφέρουσιν. βλέπειν μὲν γὰρ κυρίως τὸ ὁρᾶν τι ὁπωσοῦν. θεᾶσθαι δὲ τὸ ὁρᾶν τι τῶν τεχνικῶς γινομένων, οἷον πάλην,

παγκράτιον

παγκράτιον, γραφικῶ.

Βλέφαρα, καὶ βλεφαρίδες διαφέρουσι. βλέφαρα μὲν γάρ ἐστιν αὐτὰ τὰ ἐπικλειόμενα δέρματα. βλεφαρίδες δὲ αἱ τρίχες αἱ ἐπὶ τῶν βλεφάρων.

Βόος, καὶ βόειος διαφέρει, βοὸς μὲν γάρ πούς ἐστιν ἐπὶ ζῶντος, βόειος δὲ ὁ τοῦ νεκροῦ.

Βούλει, καὶ βούλῃ διαφέρει. τὸ βούλει μὲν γάρ ὁριστικόν ἐστιν, οἷον βούλει σχολάσωμεν. τὸ βούλῃ δὲ διστακτικῶς, οἷον βούλῃ πορευσώμεθα.

Βοηθεῖ μὲν ὁ συνών, ἐπικουρεῖ δὲ ὁ ἔξωθεν εἰς βοήθειαν ἥκων, συμμαχεῖ δὲ ὁ αὐτόθεν, ὑπερμαχεῖ δὲ ὁ ἀδυνάτῳ χρησιμεύων, ἀμύνει δὲ ὁ τιμωρούμενος ὑπὲρ τοῦ ἀπολωλότος.

Βουκολεῖν, καὶ ἐξαπατᾶν διαφέρει, βουκολεῖν μέν ἐστι τὸ ἐπὶ πλεῖστον ἀεὶ παραλογίζεσθαι. ἐξαπατᾶν δὲ τὸ περὶ τὰ πράγματα συναρπάζειν.

Βουλεύσασθαι, καὶ βουλεῦσαι διαφέρει. βουλεύσασθαι μὲν γάρ ἐστι ταυτὸν τῷ σκέψασθαι. βουλεῦσαι δὲ τὸ ἐνθυμηθῆναί τι, καὶ συντάξαι κακόν, οἷον βουλεῦσαι φόνον, ἢ ἱεροσυλίαν.

Βούλεσθαι μὲν ἐπὶ μόνου λεκτέον τοῦ λογικοῦ, τὸ δὲ θέλειν καὶ ἐπὶ ἀλόγου ζώου.

Βλύει, καὶ βρύει διαφέρει. βρύει μὲν γάρ ἐπὶ τοῦ ἀνθεῖν, βλύει δὲ ἐπὶ τοῦ ἀναβάλλειν.

Βρύκειν, καὶ βρύχειν διαφέρει. βρύκειν μὲν γάρ διὰ τοῦ κ τοῖς ὀδοῦσι, βρύχειν δὲ διὰ τοῦ χ, ἐπὶ λέοντος τὸ βρύχεσθαι.

Βωμός, ἑστία, ἐσχάρα, καὶ μέγαρον διαφέρουσι, καθὰ καὶ Ἀμμώνιος ὁ Λαμπρεὺς ἐν πρώτῳ περὶ θυσιῶν. φησὶ γάρ, βωμοὶ μὲν γάρ οἱ τὰς προβάσεις ἔχοντες. ἐσχάρα δ' ἡ πρὸς τὴν βοιωτικὴν γινομένη, ἐπὶ τῆς τάδε πολυεστία, τὸ δὲ μέγαρον ἡ περιῳκοδομημένη ἑστία, ἔνθα τὰ μυστικὰ τῆς Δήμητρος. παρὰ δ' Ὁμήρῳ ἡ ἐσχάρα ἡ αὐτὴ καὶ ἑστία καλεῖται. ὁ δὲ βωμὸς καὶ τὴν βάσιν σημαίνει. χρύσειοι δ' ἄρα κοῦροι, εὐδμήτων ἐπὶ βωμῶν ἀντὶ τοῦ ἐπὶ βάσεων. καὶ ἡ ἑστία σημαίνει τὸν οἶκον, ἑστίη δ' ὁ Δυσαῖος ἀμύμονος, καὶ ἀνέστιος ὁ ἄοικος παρ' Ἡσιόδῳ, καὶ ἡ σωματοειδὴς θεὸς ἑστία ἐστίν, ἣν καὶ Δήμητραν, καὶ Ῥέαν χρυσοπέπλον. ἰδίως δὲ Νεάνθης ὁ Κυζικηνὸς ἐν ἢ τῶν κατὰ πόλιν βωμοὺς θεῶν φησιν, ἐσχάρας δ' ἡρώων. παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται, ἐν Πλεισθένει μῆλος φάγετε δαιμόνων ἐπ' ἐσχάραις. καὶ Σοφοκλῆς ἐν Χρύσῃ.

Γαμήλιος, καὶ ἐπιθαλάμιος διαφέρει. ἐπιθαλάμιος μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ θαλάμῳ τῆς γαμουμένης γραφὲν ποίημα. ὁ δὲ γαμήλιος οὐ περιέχεσαι χρόνῳ. τάττοιτο δ' ἄν, καὶ κατὰ τῆς δωρεᾶς τῆς ἐν γάμῳ διδομένης.

Γεγενῆσθαι ἐροῦμεν τὸ ὡσανεὶ γεγεννημένον, γεγονέναι δὲ τὸ ἄψυχον πρᾶγμα.

Γενέθλια, καὶ γενέσια διαφέρει. ὅτι μὲν γάρ γενέθλια τάσσεται ἐπὶ τῶν ζώντων, καὶ ἐν ἡ ἕκαστος ἡμέρᾳ ἐγεννήθη, αὕτη καλεῖται γενέθλιος ἡμέρα. γενέσια δὲ ἐπὶ τῶν τεθνηκότων, ἐν ἡ ἕκαστος ἡμέρᾳ τετελεύτηκε, ὁ οὖν λέγων ἐπὶ τῶν ζώντων γενέσια, ἀκυρολογεῖ.

Γέρων, καὶ πρεσβύτης, καὶ προβεβηκὼς διαφέρει. Ἀλεξίων δηλοῖ ἐν ἐπιτομῇ τῶν Διδύμου συμμίκτων λέγων οὕτως, ἐκ τῶν Ἀρίστωνος περὶ ἀνθρώπου γενέσεως, καὶ αὐξήσεως ἄχρι γήρως. βρέφος μὲν γάρ ἐστι τὸ γεννηθὲν εὐθέως. παιδίον δὲ τὸ τρεφόμενον ὑπὸ τιθηνοῦ. παιδάριον δὲ τὸ ἤδη περιπατοῦν, καὶ τῆς λέξεως ἀντεχόμενον. παιδίσκος δ' ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. παῖς δ' ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι. τὴν δ' ἐχομένην ταύτης ἡλικίαν, οἱ μὲν πάλληκα, οἱ δὲ βούπαιδα, οἱ ἀντίπαιδα, οἱ δὲ μελλοέφηβον καλοῦσιν, ὁ δὲ μετὰ ταῦτα ἔφηβος. ἐν δὲ Κυρήνῃ τοὺς ἐφήβους τριακατίους καλοῦσιν, ἐν δὲ Κρήτῃ ἀποδρόμους διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. ὁ δὲ μετὰ ταῦτα μειράκιον, εἶτα μεῖραξ, εἶτα νεανίσκος, εἶτα νεανίας, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς, ὃν καὶ ὠμογέροντα καλοῦσιν, εἶτα γέρων, εἶτα πρεσβύτης, εἶτα ἔσχατος γέρως.

Γελοῖον, καὶ εὐτράπελον διαφέρει. γελοῖον μὲν γάρ ἐστιν τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως. εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὐτρέπεσθαι τὸν λόγον.

Γέλοιος, καὶ γελοῖος διαφέρει. γέλοιος μὲν ὁ καταγέλαστος. γελοῖος δὲ ὁ γελωτοποιός.

Γῆμαι, τοῦ γήμασθαι διαφέρει. ὅτι γαμεῖ μὲν ὁ ἀνήρ. γαμεῖται δὲ ἡ γυνή. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν αὐτῶν. ἐπὶ τοῦ γήμασθαι εἰπών, γημαμένη ᾧ υἱεῖ. ὁ δ' ὃν πατέρ' ἐξεναρίξας γῆμε. καὶ Ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι. καὶ θαλάμοις ἐν οἷς κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο. καὶ Αἰσχύλος ἐν Ἀμυμώνῃ. σοὶ μὲν γάρ γαμεῖσθαι μόρσιμον, γαμεῖν δὲ μή.

Γῆρας μέν ἐστιν ἡ τελευταία ἡλικία. γήρασις δὲ ἡ ἐπ' αὐτὴν πρόοδος, μή ποτε οὖν ταύτῃ καὶ γηρᾶν τοῦ γηράσκειν διαφέρει.

Γράμμα στοιχείου διαφέρει. στοιχεῖον μὲν γάρ ἐστιν αὐτὴ ἡ ἐκφώνησις, καὶ ὁ φθόγγος. οὐ τὸ γράμμα σημεῖον, ἢ τύπος, ἢ σχῆμα, ὡς ἐν τῷ, τετράγωνον μὲν γάρ ἐστι τὸ Δ. στρογγύλον δὲ τὸ ο, τύπος. τὸ δὲ στοιχεῖον τὸ ὁλόκληρον. οἷον α. ε. καὶ τὰ λοιπὰ στοιχεῖα καταχρηστικῶς γράμματα. καὶ τὰ γράμματα ἐκάλουν οἱ παλαιοὶ γράμματα. Καλλίμαχός που φησί. γράμματα δ' οὐκ ἔλυσαν ἀπόκρυφα. τουτέστι τὰ γράμματα. καὶ πάλιν Πλάτωνος ἐν τῷ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος. καὶ ἐν τῇ συνηθείᾳ πολλὰ φαμὲν εἰδέναι γράμματα τόνδε. οὐ γάρ τὰ εἴκοσι τέσσαρα, ἀλλὰ τὸ τῶν πολλῶν ἔμπειρον γραμμάτων.

Γυμνασθῆναι, καὶ γυμνάσασθαι διαφέρει. γυμνασθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου. γυμνάσασθαι δὲ τὸ ὑφ' ἑαυτοῦ.

Γυμνασία μὲν λέγεται ἡ τῶν γεγυμνασμένων ἄσκη-

σις. ἄσκησις δὲ ἡ τῶν λεγόντων, καὶ σκηνικῶν.

Δ αμάλης, καὶ δάμαλις διαφέρει. δαμάλης μὲν γὰρ ἄρρην μόσχος. δάμαλις δὲ ἡ θήλεια. μόσχος δὲ κοινῶς ἐπ' ἀμφοτέρων.

Δ αὶ σύνδεσμος ἐρωτηματικῶς ἐκτεταμένως, τίς δαὶ ὅμιλος, καὶ πῶς δαὶ τῶν ἄλλων τρόπων. ὁ δὲ συμπλεκτικὸς δὲ συνεσταλμένως.

Δ εσπότης, καὶ κύριος διαφέρει. δεσπότης μὲν γὰρ, ὁ τῶν ἀργυρωνήτων, καὶ κύριος. κύριος δὲ καὶ πατὴρ υἱοῦ, καὶ αὐτός τις ἑαυτῶν.

Δ έος, καὶ φόβος διαφέρει. δέος μὲν γάρ ἐστι πολυχρόνιος κακοῦ ὑπόνοια. φόβος δὲ παραυτίκα πτόησις. διόπερ ἡρόδοτος ἐν τῇ δ', ἡμέας ἔχει φόβος τε καὶ δέος.

Δ ήμιος, καὶ δημόκοινος διαφέρει. δήμιος μὲν γάρ ἐστιν ὁ ἀναιρῶν τοὺς καταδίκους. δημόκοινος δὲ ὁ βασανίζων.

Δ ημήτηρ, καὶ δαμάτηρ διαφέρει παρὰ τοῖς ἀττικοῖς, φησὶ τρύφων. δημήτηρ γάρ φησιν ἐστὶν ἐπὶ τῆς θεοῦ. δαμάτηρ δὲ ἐπὶ θαυμασμοῦ.

Δ ῆμος, καὶ δημὸς διαφέρει. δῆμος μὲν βαρυτόνως, τὸ πλῆθος τῆς πόλεως. δημὸς δὲ ὀξυτόνως, τὸ λίπος.

Δ ίσκος, καὶ σόλος διαφέρει. δίσκος μὲν γάρ ἐστι λίθος τετρημένος, ὥς φησι τρύφων ἐν τῷ πέμπτῳ περὶ ἑλληνισμοῦ. σόλος δὲ τὸ χαλκοῦν ὁλοσφύριον. ὅμηρος σόλον αὐτοχόωνον, καὶ ἐν ἄλλοις λάβε δίσκον. εἶτ' ἐπιφέρει. βόμβησε δὲ λίθος. καὶ πίνδαρος λιθίνοις ποτ' ἀναδίσκοισι.

Δ ικαστὴς, καὶ διαιτητὴς διαφέρει. δικαστὴς μὲν γάρ ἐστιν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής. διαιτητὴς δὲ ὁ κατὰ συμφωνίαν αἱρεθεὶς συμβιβάσεως χάριν. μένανδρος ἐν πέμπτῳ, ἐπὶ δικαστὴς, ἢ διαιτητὴς θεῶν.

Δ ιέφθαρται, καὶ διέφθορε διαφέρουσι. διέφθαρται μὲν γὰρ ὑφ' ἑτέρου, διέφθορε δ' ἕτερον. ἀριστοφάνης κώκαλος. διέφθορας τὸν ὅρκον ἡμῶν. μένανδρος, ἀδελφοῖς ἐνδ' ἐστὶ τὴν κόρην διεφθορώς. ὅμηρος φρένας ἠλεὲ διέφθορας. διεφθάρης τὰς σαυτοῦ φρένας.

Δ ιαβόητος, καὶ ἐπιβόητος διαφέρει. διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος. ἐπιβόητος δ' ὁ μοχθηρὰν ἔχων φήμην. ἀνακρέων ἐν ιε', καὶ μὴ ἐπιβόητον κατὰ γείτονας ποιήσεις. ἔστιν δ' ὃν οἱ τῶν ποιητῶν ἐπίσφατον καλοῦσιν.

Δ ιαβόητος περιβοήτου διαφέρει. διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ πολυθρύλλητος. περιβόητος δὲ ὁ ἐπὶ κακίᾳ. καὶ περιβόητον πᾶσιν ἀνθρώποις αὐτὸν ἀκρατής. καὶ ἔστιν δὴ τὸ λεγόμενον, ἧττον ἑαυτοῦ πορνιδίῳ τρισαθλίῳ ἑαυτὸν οὕτω παραδέδωκεν.

Δ ιπλοῦν, καὶ διπλάσιον διαφέρει. διπλοῦν μὲν γάρ ἐστι κατὰ μέγεθος. διπλάσιον δὲ κατὰ ἀριθμόν, ὡς διπλάσιον καὶ τετραπλάσιον, οἷον διπλάσια χρήματα ἔχει. ἐπὶ δὲ τῶν διπλουμένων τὸ διπλοῦν, ὥσπερ ἐπὶ τῶν πτυσσομένων ἱματίων. διπλοῦν τὸ ἱμάτιον οὐκέτι διπλάσιον.

Δ ιχότομος, καὶ διχοτόμος διαφέρει. διχότομος μὲν ὁ εἰς δύο διῃρημένος. διχοτόμος δὲ ὁ εἰς δύο διαιρῶν.

Δ ιήγησις, καὶ διήγημα διαφέρει. διήγησις μὲν γὰρ καὶ ποίησις ἐστὶν ἡ ἐν μήκει, τὸ τέλειον ἔχουσα. διήγημα δὲ, καὶ ποίημα τὸ βραχύτερον.

Δ ιδάξω, καὶ διδάξομαι διαφέρει. διδάξω μὲν γὰρ δι' ἑαυτοῦ. διδάξομαι δὲ δι' ἑτέρου. ὡς οἰκοδομήσω μὲν δι' ἑαυτοῦ, οἰκοδομήσομαι δὲ δι' ἑτέρου.

Δ ιφθέρα, καὶ μηλωτὴ διαφέρει. διφθέρα μὲν γὰρ αἰγῶν, μηλωτὴ δὲ προβάτων.

Δ ιορθοῦν, καὶ ἐπανορθοῦν διαφέρει. διορθοῦν μὲν γὰρ καὶ ἐπὶ δοράτων καὶ ἐπὶ ὀβελίσκων, καὶ ἐπὶ λόγων. ἐπανορθοῦν δὲ ἐπὶ μόνων λόγων.

Δ ιαπολιτεύεσθαι, καὶ ἀντιπολιτεύεσθαι διαφέρει. διαπολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς πόλεως. ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας ἀντιδιαστασιοῦντας ἀλλήλοις. θεόπομπος δὲ καὶ τοὺς ἐν μιᾷ πόλει φιλοτιμουμένους πρὸς ἀλλήλους ἀντιπολιτεύεσθαι ἔφη.

Δ ιδάσκαλος, καὶ ἐπιστάτης διαφέρει. διδάσκαλος μὲν γάρ ἐστι λόγων. ἐπιστάτης δ' ἔργων.

Δ ιαλέγεται μὲν ὁ διδοὺς λόγον, καὶ λαμβάνων. λαλεῖ δὲ ὁ μὴ σπουδαιολογούμενος. λέγει δὲ καὶ ὁ κατὰ διέξοδον ἐπεξιὼν πρᾶγμα. φάσκει δὲ ὁ βραχυλόγος.

Δ ίκη, ἥτε κρίσις, καὶ ἡ τιμωρία, καὶ τὸ δίκαιον.

Δ οάσατο τοῦ διάσατο διαφέρει. τὸ μὲν γὰρ δοάσατο σημαίνει τὸ ἔδοξε. τὸ δὲ διάσατο, ἀντὶ τοῦ ἐδίστασε.

Δ οῦλοι, καὶ οἰκέται διαφέρουσι. δοῦλοι μὲν γάρ εἰσι καὶ οἱ τῶν ἐθνῶν, καὶ πάντες οἱ ὑποτεταγμένοι τῷ βασιλεῖ, οἰκέται δὲ δεσποτῶν.

Δ όξα, καὶ κλέος διαφέρει. δόξα μὲν ἐστὶν ὁ παρὰ τῶν πολλῶν ἔπαινος. κλέος δὲ ὁ παρὰ τῶν σπουδαίων.

Δ ύναμις, καὶ ἰσχὺς διαφέρει. ὥς φησι πλάτων ἐν πρωταγόρᾳ. οὐ γὰρ ταυτόν ἐστι δύναμίν τε, καὶ ἰσχύν. ἡ μὲν γὰρ δύναμις καὶ ἀπὸ ἐπιστήμης γίνεται καὶ μανίας, καὶ θυμοῦ. ἡ δὲ ἰσχὺς ἀπὸ φύσεως, καὶ εὐτροφίας τῶν σωμάτων.

Δ υσπειθής, καὶ ἀπειθὴς διαφέρει. δυσπειθὴς γάρ ἐστιν ὃς δυσχερῶς παραδέχεται τὸν πιστὸν λόγον. ἀπειθὴς δὲ ὃς ἀποκρούεται, καὶ οὐχ οἷός τέ ἐστι πείθεσθαι.

Δ ῶμα, καὶ δωμάτιον διαφέρει. δῶμα μὲν γὰρ κοινῶς τὸ οἰκοδόμημα. δωμάτιον δὲ ὁ θάλαμος.

Δ ωροδοκία ἥτε δόσις τῶν δώρων καὶ ἡ λῆψις.

Ε γχρίσαι, καὶ ἐναλεῖψαι διαφέρει. ἐγχρίσαι μὲν γὰρ ἐπὶ σκορπίου, ἢ σφηκῶν, ἤ τινος τοιούτου λέγουσιν. ἐναλεῖψαι δὲ ἐπὶ ὀφθαλμῶν.

Ἐ γγυᾷ, καὶ ἐγγυᾶται διαφέρει. ἐγγυᾷ μὲν γὰρ ὁ διδούς. ἐγγυᾶται δ' ὁ λαμβάνων.

Ἐ δίδαξε, καὶ ἐδιδάξατο διαφέρει. ἐδίδαξε μὲν γὰρ ὁ καθηγητής. ἐδιδάξατο δ' ὁ πατὴρ συστήσας.

στῆσαι. ἀριστοφάνης ἐν νεφέλαις. ἐδιδαξάμην μέντοι νὴ Δί' ὦ μέλε.

Εἰκὼν, καὶ προτομὴ διαφέρει. εἰκὼν μὲν γάρ ἐστιν ἐπ' ἀνθρώπου, προτομὴ δὲ λέοντος, καὶ ἵππου, καὶ τῶν ἄλλων.

Ἐκκλησία, καὶ κατάκλησις διαφέρει. ἐκκλησίαν μὲν μὲν γὰρ ἔλεγον οἱ ἀθηναῖοι τὴν σύνοδον τῶν κατὰ τὴν πόλιν. κατάκλησιν δὲ ὁπότε καὶ τοὺς ἐκ τῶν ἀγρῶν συνεκάλουν, πρὸς ἐπίσκεψιν μείζονα τῶν πραγμάτων.

Ἐκεῖ, καὶ ἐκεῖσε διαφέρει. τὸ μὲν γὰρ ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ. τὸ δὲ ἐκεῖσε εἰς τόπον οὕτως ἐροῦμεν. ἐκεῖ κατέλαβον αὐτὸν, καὶ ἐκεῖσε πορεύσομαι.

Ἐκπολεμῶσαι, καὶ ἐκπολεμῆσαι διαφέρουσιν. ἐκπολεμῶσαι μὲν γάρ ἐστι τὸ εἰς τὸν πόλεμον ἐμβαλεῖν. ἐκπολεμῆσαι δὲ τὸ πόλιν ἐξελεῖν.

Ἔκγονος, καὶ ἀπόγονος διαφέρει. ἔκγονος μὲν γάρ ἐστιν ὁ υἱός, φησὶ γὰρ ὅμηρος. εἰ ἐτεόν γ' ἐκείνου ἔκγονός ἐσσι, θάμβος μ' ἔχει εἰσορόωντα. καὶ δι' ὅλης τῆς ποιήσεως τετήρηκεν. ἀπόγονος δ' ὁ ἤτοι υἱωνὸς, ἢ ἔτι ἄποθεν. καταχρῶνται δ' ἐσθ' ὅτε οἱ ἱστορικοὶ τῷ ἀπογόνῳ ἀντὶ υἱοῦ.

Ἐκμαρτυρία μαρτυρίας ἔν τινι διαφέρει. δηλοῖ μέναρχος ἐν τῷ κατὰ Κλεομέδοντος λέγων, ἀναγνώσεται δὲ τῶν μὲν ἐπιδημούντων τὰς μαρτυρίας, τῶν δὲ ἀποδημούντων ἐκμαρτυρίας.

Ἕλκος ὠτειλῆς διαφέρει. ἕλκος μὲν γάρ ἐστι χρόνιον πάθος, μόνον ἐκ σιδήρου γινόμενον, ἔστι δ' ὅτε καὶ ἐξ αὐτομάτου. εἴρηται δὲ παρὰ τὸ διαλύεσθαι τὴν σάρκα. ὠτειλὴ δ' ἐστὶν ἡ ἐκ τοῦ σύνεγγυς ἀπὸ σιδήρου πληγή.

Ἐλέατρος, καὶ ἐδέατρος διαφέρει. ἐλέατρος μὲν γάρ ἐστιν ὁ μάγειρος παρὰ τοῖς ἐλεοῖς. τράπεζαι δ' εἰσὶ μαγειρικαὶ, ὅμηρος, καὶ ἐν ἐλεοῖσιν ἔχευαν. ἐδέατρος δὲ ὁ προστάτης παρὰ τὰ ἐδέσματα.

Ἐμβάδες, καὶ ἔμβατα διαφέρει. ἐμβάδες μὲν γὰρ τὰ κωμικὰ ὑποδήματα. ἔμβατα δὲ τὰ τραγικά.

Ἐμεῖο, καὶ μοῖο διαφέρει. ἐμεῖο μὲν γάρ ἐστιν ἀσύναρθρον, ὡς ὅμηρος. ἐμοῖο δὲ σύνθεο μῦθον. τὸ δὲ μεῖο σύναρθρον, τοῦ ἐμοῖο παιδός, καὶ μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ' ἀχιλλεῦ, ἀντὶ τοῦ πατρός.

Ἐμπειρία πείρας διαφέρει. πεῖρα μὲν γὰρ ἐφ' ἑνὸς, ἢ δύο γνῶσίς ἐστι δοκιμαζομένη. ἐμπειρία δὲ ἡ ἐπὶ πολλῶν κατάληψις βεβαία. πάλιν δὲ τέχνη ἐμπειρίας διαφέρει, ὅτι ἡ μὲν ἐν τοῖς κανόσιν. ἡ γραμματικὴ δὲ τέχνη ἀδιάπτωτος ὡς καὶ ἡ ἐπιστήμη.

Ἔνδον, καὶ ἔσω διαφέρει. ἔνδον μὲν γὰρ τὸ ἐν τόπῳ σημαίνει. ἔσω δὲ τὸ εἰς τόπον. ἔνδον μὲν γάρ ἐστιν ὁ παῖς. ἔσω δὲ εἰσέρχομαι. ἁμαρτάνει οὖν ὁ λέγων, ἔνδον εἰσέρχομαι, ἢ ἔσω ἐστὶν ὁ παῖς. Σοφοκλῆς τὴν διαφορὰν συγχεῖ. φησὶ γὰρ ἐν τραχινίαις. γυναῖκες αἵτ' ἔσω στέγης, αἵτε ἐκτὸς. δέον εἰπεῖν γυναῖκες αἵτ' ἔνδον. καὶ Εὐριπίδης ἐν ἡρακλείδῃ, καὶ τὸν γέροντα τήνδ' ἔσω γραῖαν δόμων. ἀντὶ τοῦ ἔνδον. Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν καλαθηφόροις. ὅπως δὲ αὐλίσετ' ἔθ' ὅτι τις γέρων ἔσω. δέον εἰπεῖν ἔνδον.

Ἐνταυθοῖ, καὶ ἐνταῦθα, καὶ ἐνθάδε διαφέρει. ἐνταυθοῖ μὲν γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. ἐνταῦθα δὲ καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, ὁμοίως καὶ τὸ ἐνθάδε. τὸ δ' ἐνταῦθα, καὶ ἐνθάδε καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, καὶ ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε. ὧδε μὲν οὖν τοῦ ἐνταυθοῖ. ἐνταυθοῖ νῦν ἧσο κύνας ἀπερύκων. ὧδε δὲ τοῦ ἐνταῦθα, Σοφοκλῆς ἐν ἠλέκτρᾳ. ἐνταῦθα πέμψαιεν, ἔνθα μή ποθ' ἡλίου φέγγος κατόψει. ἔχει γὰρ καὶ τὴν εἰς τόπον σημασίαν, καὶ τὴν ἐν τόπῳ. ὁμοίως καὶ ὧδε τοῦ δε. ἐνθάδε φησὶν ἡ καλυψὼ ἐνθάδε καὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις. ἕκτωρ φησί, σὲ δ' ἐνθάδε γῦπες ἔδονται. ταῦτα γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὰ δ' εἰς τόπον οὕτω. τοῦ δ' αὐτοῦ λῦσε γόνα, καὶ φίλον ἦτορ. τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' ὀδυσσεύς. ἀπὸ τοῦ ἔνθα ἐν τόπῳ. ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς. εἰς τόπον. ἔνθα κατεπλέομεν καί τις θεὸς ἡγεμόνευεν. ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε. Ἔνθ' αὖ τυδείδῃ διομήδεϊ Παλλὰς ἀθήνη.

Ἐνθύμημα, καὶ ἐνθύμιον διαφέρει. ἐνθύμημα μὲν γάρ ἐστι ποιοῦ λόγου σχῆμα. τὸ δ' ἐνθύμιον ἐτίθετο ὧδε τοῦ προστροπαίου παρ' ἀττικοῖς. ὁ γοῦν Ἀντιφῶν ἐν τοῖς φονικοῖς φησι. Τεθνεὼς οὗτος ὑμῖν ἐνθύμιος γενήσεται.

Ἔνδοξος, καὶ ἐπίδοξος διαφέρει. ἔνδοξος μὲν γάρ ἐστι. ὁ ἐπίσημος. ἐπίδοξος δὲ ὁ προσδοκώμενος, καὶ ἐλπιζόμενος.

Ἕνεκα, καὶ χάριν διαφέρει. ὁ μὲν γὰρ ἕνεκα ψιλῶς τὴν αἰτίαν δηλοῖ. οἷον ἕνεκα Ἀλεξάνδρου, καὶ ἕνεκα Ἑλένης ἐστράτευσε Μενέλαος. ὁ δὲ χάριν μετὰ τῆς αἰτίας δηλοῖ καὶ τὴν χάριν. χάριν Μενελάου Ἀχιλλεὺς ἐστράτευσε. τουτέστι, Μενελάῳ χαριζόμενος.

Ἐννοεῖν, καὶ ἐννοεῖσθαι διαφέρει. ἐννοεῖν μὲν γὰρ ἄφνω μὴ ἐπιστῆς. ἐννοεῖσθαι δὲ ἀπὸ μακρὰν διαλογιζόμενος.

Ἐξ ὅσου, καὶ ἐξ ὅτου διαφέρει. ἐξ ὅσου μὲν γὰρ χρόνου. ἐξ ὅτου δὲ τοῦ ἐξ οὗτινος.

Ἐξάνεψιοι, καὶ ἐξανέψιοι διαφέρει. καὶ βαρυτόνως προφέρονται τοὔνομα. φησὶ γὰρ Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας, ἐξανέψιοι, ὡς ἀμέριμνοι, ἀνασεσυρμένης τῆς ὀξείας ἐκ τοῦ ἀνεψιοὶ ὀνόματος ὀξυνομένου. εἰσὶ δὲ οἱ μὲν ἀνεψιοὶ τῶν ἀδελφῶν παῖδες, καθὰ καὶ ἡμεῖς ἐκδεχόμεθα, ἐξανέψιοι δὲ οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἐοικότα εἰκότων διαφέρει. τὰ μὲν γὰρ πίστεως ἐχόμενα. τὰ δ' ἐμφερῆ ἐοικότα.

Ἐπικήδειον, καὶ θρῆνος διαφέρουσι. ἐπικήδειον μὲν γὰρ

ἐστι τὸ ἐπὶ τῷ κήδει. θρῆνος δὲ τὸ ἐν ᾠδῇ, οὕτω Τρύφων. Ἀριστοκλῆς δὲ ὁ Ῥόδιος ἐν τῷ περὶ ποιητικῆς τοὔμπαλιν. φησὶ γάρ, θρῆνος δ' ἐστὶν ᾠδὴ τῆς συμφορᾶς, οἰκεῖον ὄνομα ἔχουσα, ὀδυρμὸν ἔχει σὺν ἐγκωμίῳ τοῦ τελευτήσαντος. τινὲς μὲν οὖν κοινῶς πάντα εἶπον θρήνους. οἱ δὲ διαφέρειν, θρῆνόν τε, καὶ ἐπικήδειον. τῷ τὸν θρῆνον ᾄδεσθαι παρ' αὐτῇ τῇ συμφορᾷ πρὸ τῆς ταφῆς, καὶ μετὰ τὴν ταφήν. καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον ταῖς κηδείαις ᾀδόμενος ὑπὸ τῶν θεραπαινίδων, καὶ τῶν σὺν αὐταῖς. τὸ δ' ἐπικήδειον ἔπαινόν τινα τοῦ τελευτήσαντος μετὰ τινὸς μετρίου σχετλιασμοῦ.

Ἐπιγραφεὺς συγγραφέως διαφέρει. ἐπιγραφεὺς ὁ προστακτικός, καὶ ἐπιμελής. συγγραφεὺς δ' ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς.

Ἐπίκουροι, καὶ σύμμαχοι διαφέρουσιν. ἐπίκουροι μὲν γάρ εἰσιν, οἱ τοῖς πολεμουμένοις βοηθοῦντες, καὶ συλλαμβανόμενοι. σύμμαχοι δὲ οἱ τῶν πολεμούντων. Ὅμηρος δι' ὅλης ἐφύλαξε τῆς ποιήσεως τὴν διαφοράν. οὐκ ἔστιν οὖν παρ' αὐτῷ ἐπικούρους Ἑλλήνων λεγομένους, ἀλλὰ Τρώων.

Ἐπιστεῖλαι, καὶ ἐπισκῆψαι διαφέρουσιν. ἐπιστεῖλαι μὲν διὰ γραμμάτων. ἐπισκῆψαι δὲ διὰ λόγων.

Ἐπαγγέλλει, καὶ ἐπαγγέλλεται διαφέρει. ἐπαγγέλλει μὲν τὸ προστάσσει. ἐπαγγέλλεται δὲ τὸ ὑπισχνεῖται. ὑπισχνεῖται δὲ ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας. ἐπαγγέλλεται δὲ ὁ ἀφ' ἑαυτοῦ δώσειν ὁμολογήσας.

Ἐπιτίμιον, καὶ ἐπίτιμον διαφέρει. ἐπιτίμιον μὲν γὰρ ἡ ζημία. ἐπίτιμον δὲ τὸ τῆς τιμῆς μετέχον. ὥστε οὐ δεῖ λέγειν ἐξέτισε τὸ ἐπίτιμον, ἀλλ' ἐξέτισε τὸ ἐπιτίμιον.

Ἐπικηρύξαι, καὶ ἐπικηρυκεύσασθαι διαφέρει. ἐπικηρύξαι μὲν γὰρ ἔλεγον τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι, καὶ ἀνάγοντες ἢ ἀποκτείναντές τινα τῶν καταδικασθέντων, οἱ Ἀθηναῖοι ἐπεκήρυξαν εἰ μέν τις ζῶντα ἀνάγοιτο δι' ἀγορὰν τὸ μήλιον δώσειν τάλαντον, εἰ δ' ἀνέλοιτο ἥμισυ. ἐπικηρυκεύσασθαι δὲ ἔλεγον τὸ περὶ συμβιβάσεως, καὶ σπονδῶν τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι.

Ἐπίτιμος, καὶ ἐπιτίμιος διαφέρει. ἐπίτιμος μὲν γὰρ ὁ ἔντιμος, ἐπιτίμιος δὲ ὁ ἐπιζήμιος, καὶ ἐπίπληκτος. ἀφ' οὗ τὴν ἐπίπληξιν ἐπιτίμιον φαμέν, καὶ ἐπιτίμησον αὐτόν, ἀντὶ τοῦ ἐπίπληξον.

Ἐπιχαίρειν, καὶ συγχαίρειν διαφέρει. ἐπιχαίρειν μὲν γάρ ἐστι τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς. συγχαίρειν δὲ τὸ συνήδεσθαι τινὸς ἀγαθοῖς.

Ἐπιδοτικὸς μέν ἐστιν ὁ δεομένοις ἐπιδιδούς. μεταδοτικὸς δὲ ὁ φίλοις.

Ἐρωτᾶν τοῦ πυνθάνεσθαι διαφέρει. πυνθάνεσθαι μὲν γάρ ἐστι τὸ κατ' ἀκολουθίαν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα αὐτὸν οὐ δι' ἐρωτῶντα. ἐρωτᾶν δὲ τὸ ἐθέλειν τινὰ κεφαλαιώδη λαβεῖν ἀπόφασιν, περὶ τοῦ ὑποκειμένου πράγματος. ὁ γοῦν Τηλέμαχός φησι πρὸς τὸν Νέστορα. εἴρεαι ὁππόθεν εἰμέν, ἐγὼ δέ κέ τοι καταλέξω. καὶ Ἀχιλλεύς φησιν. ἀλλ' ἴθι νῦν Πάτροκλε διΐφιλε, Νέστορ' ἔρειο ὅν τινα τοῦτον ἄγει. ὅτι δὲ τοῦ πυνθάνεσθαι ἐπὶ ψιλοῦ τοῦ ἀκούειν τάσσεται, φανερὸν ἐκ τοῦ λέγειν Τηλέμαχον, νῦν δ' ὅτε μέγας εἰμί, καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός. καὶ Ὀδυσσεὺς φησί, πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ. κατὰ δὲ τοὺς φιλοσόφους ἐρώτησίς ἐστι φράσις συμβολικὴ ἀπόκρισιν ζητοῦσα, οἷον ναί, οὔ, ἀμφίβολον, σαφές, ἄδηλον. αὗται γὰρ αἱ πέντε ἀποφάσεις, συμβολικαὶ καλοῦνται. ἔστι μέντοι γε ὅτε οὐχ οὕτως, ἀλλ' ἑτέρως ἀποκρινόμεθα πρὸς τὰς ἐρωτήσεις, οἷον ἡμέρα ἐστί. καὶ οὕτως, ἡμέρα ἐστὶν ἡμέρα. καὶ οὕτως, ἡμέρα ἐστίν. πεῦσις δέ ἐστι λέξις πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνεσθαι, οἷον, ποῦ οἰκεῖ Ἀρίστων; φησὶ γάρ, ἐν τῷδε τῷ τόπῳ. καὶ ποῖος ἔβη Ἀνδρόμαχος; ἡ δ' ἀποκρίνεται, ὅτι ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου οὕνεκ' ἄκουε τείρεσθαι Τρῶας. οὐ γὰρ ἐνεχώρει ἐνταῦθα συμβολικῶς εἰπεῖν ναὶ ἢ οὔ. κατά τι δὲ περὶ τῆς διαφορᾶς ταύτης φέρονται, καὶ οἱ φιλόσοφοι συμφώνως τοῖς προειρημένοις. Ποτάμων περὶ τῆς διαφορᾶς φησὶν οὕτως.

Ἐρώτησις πεύσεως, καὶ ἀνακρίσεως διαφέρει. ἐρώτησις μὲν γάρ ἐστι σύντομος ἀπόκρισις. πεῦσις δὲ μακρᾶς πράξεως ἀπαγγελία. ἀνάκρισις δ' ὑποδεεστέρων ἐξήγησις.

Ἔρως, καὶ πόθος διαφέρουσιν. ἔρως μὲν γὰρ τῶν παρόντων. πόθος δὲ τῶν ἀπόντων.

Ἐρᾶν, καὶ ποθεῖν διαφέρει. ἐρᾶν μὲν γάρ ἐστι τῶν ἐν ὄψει. ποθεῖν δὲ τοὺς ἀπόντας. διαστέλλει δὲ καὶ Ὅμηρος. ὥς σεο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ. πρὸς τὴν Ἥραν φησὶν ὁ Ζεὺς παροῦσαν. ἐπὶ δὲ τοῦ ἀπόντος, ἀλλά με σοῦ πόθος σά τε μήδεα φαίδιμ' Ὀδυσσεῦ, σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα. φυλάσσει δ' ἄκρως ὁ ποιητὴς τὰς τοιαύτας ἐναλλαγάς.

Ἐρωτᾶν μέν ἐστι τὸ θέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν ἢ ναὶ ἢ οὔ. πυνθάνεσθαι δὲ τὸ κατὰ διέξοδον ἀξιοῦν πρᾶγμα, οἷον πῶς ἐπολεμήσατε.

Ἔρως μέν ἐστιν ἐπιβολὴ φιλοποιΐας. πόθος δ' ἀπόντος, ἵμερος δ' ἔρως ἐπανίζων τῆς πρὸς τὸν ἐρώμενον χρείας.

Ἔσται τοῦ γενήσεται διαφέρει. ἔσται μὲν γὰρ τὰ καὶ νῦν ὄντα. γενήσεται δὲ τὰ γενέσεως τευξόμενα. οἷον νέος πρεσβύτης ἔσται. τῷ δ' ἀτέκνῳ παῖδες γενήσονται. ἄλλως, ἔσται μὲν γὰρ τὸ ὑποκείμενον. οἷον ὁ παῖς ἔσται ἀνήρ, γενήσεται δὲ τὸ ἄριστον.

Ἑστιάτωρ καὶ δαιτυμὼν διαφέρει. ἑστιάτωρ μὲν γὰρ ὁ ὑποδοχεύς, δαιτυμόνες δὲ οἱ ἑστιώμενοι.

Ἑσπέρα, καὶ ὀψὲ διαφέρει. ἑσπέρα μὲν γάρ ἐστι

δυομένου τοῦ ἡλίου. ὅτε δὲ βραδέως καὶ μεθ' ὁντινοῦν χρόνον. διὰ τοῦτο καὶ προστιθέασιν, ὅτε τῆς ἡμέρας.

Ἑταῖρος, καὶ φίλος διαφέρουσιν. ὁ μὲν γὰρ φίλος καὶ ἑταῖρος, ὁ δ' ἑταῖρος οὐ πάντως φίλος. διὸ καὶ ἐπὶ τοῦ ἀνέμου φησὶν ὅμηρος. πλησίστιον ἐσθλὸν ἑταῖρον. καὶ ἄλλως. φίλοι μὲν κοινῶς λέγονται πάντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες, καὶ ἐν συνηθείᾳ, καὶ ἐν συνεργίᾳ πολλὴν χρόνον γεγονότες.

Ἑτερόφθαλμος, καὶ μονόφθαλμος διαφέρουσιν. ἑτερόφθαλμος μὲν γὰρ ὁ κατὰ περίπτωσιν στερηθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν. μονόφθαλμος δὲ ὁ μόνον ὀφθαλμὸν ἔχων, ὡς ὁ κύκλωψ.

Ἕτερος, καὶ ἄλλος διαφέρει. ἕτερος μὲν ἐπὶ δυοῖν τάσσεται. ὡς ὅμηρος. φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα. τὸ δὲ ἄλλος ἐπὶ πολλῶν, ὡς αὐτὸς ὅμηρος, διῒ δ' ἡμεῖς οἴσομεν ἄλλον.

Εὐφυής, καὶ εὐμαθὴς διαφέρει. εὐφυὴς μὲν γὰρ λέγεται παρὰ ἀττικοῖς ὁ σκωπτικός. εὐμαθὴς δὲ ὁ εἰς τὸ μαθεῖν ταχύς.

Εὑρεῖν, καὶ εὑρέσθαι διαφέρει. εὑρεῖν μὲν γὰρ τὸ καὶ ἐν τῇ συνηθείᾳ. εὑρέσθαι δὲ οἱονεὶ τὸ ἐκπορίσασθαι. Μένανδρος δυσκόλῳ. εὑρηκὼς κατὰ τούτου τέχνην. δίφιλος ἐν πυῤῥᾳ. δῶρον δ' ἐμαυτῇ παρὰ θεῶν εὑρημένον.

Εὔμορφος εὐειδοῦς διαφέρει. εὔμορφος μὲν γὰρ ὁ τὴν μορφὴν εὖ ἔχων. οἷον εὐπρόσωπος. καὶ γὰρ τὸ τὴν ὄψιν πως σχηματίζειν, μορφάζειν λέγομεν. εὐειδὴς δὲ ὁ τὸ εἶδος καλῶς ἔχων, οἷον πᾶν τὸ σῶμα.

Εὐθύς, εὐθύ, καὶ εὐθέως διαφέρουσιν. εὐθὺς μὲν γὰρ ὁ κανών. εὐθὺ δὲ τὸ γυμνάσιον αὐτῶν κατ' εὐθεῖαν τοῦ γυμνασίου. ἢ εὐθὺ τὸ κανόνιον. τὸ δ' εὐθέως ἀντὶ τοῦ χρονικοῦ ἐπιῤῥήματος. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει, καθὰ Μένανδρος ἐν δυσκόλῳ. τί φὴς ἰδὼν ἐνθένδε πᾶς δ' ἐλευθερῶν, ἀπῆλθες εὐθύς, ὡς ταχύ. Τινὲς μέν τοι τῶν ἀρχαίων φασὶ, καὶ τὸ εὐθὺς ἀντὶ χρονικοῦ κεῖσθαι. φασὶ γοῦν κατὰ λέξιν. τινὲς δὲ τὸ μὲν εὖ λέγειν, ἐπί τινος εὐθέως, οἷον ἐὰν μὲν ᾖ θηλυκὸν τοὔνομα ἡ εὐθεῖα ὁδός. εὐθεῖα βακτηρία. ἐὰν δὲ ἄῤῥεν, εὐθὺς ὁ κανών. ἐὰν δ' οὐδέτερον, εὐθὺ τὸ ξύλον. οἱ δὲ ἀρχαῖοι, ἐνίοτε τὸ εὐθὺ ἐτίθεσαν, τὸ ἐφ' ὁδοῦ τῆς τεινούσης ἐπί τινος τόπου, εὐθὺ τῆς στοᾶς. εὐθὺ τῶν ἀρωμάτων. τὸ δὲ κατὰ τοὺς χρόνους οὐ λέγεται, ἀλλ' εὐθὺς οἷον γήμαντος δ' αὐτοῦ, εὐθὺς ἔσομ' ἐλεύθερος, καὶ ὡς τοῦτ' εἶδεν εὐθὺς ἦν ἄνω κάτω.

Εὐφραίνεσθαι, καὶ ἥδεσθαι διαφέρει. Πλάτων πρωταγόρᾳ, εὐφραίνεσθαι μὲν γάρ ἐστι, μανθάνοντά τι, καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ. ἥδεσθαι δὲ ἡσθέντα τι αὐτῷ τῷ σώματι.

Εὐθύς, καὶ εὐθὺ διαφέρει. τὸ μὲν γὰρ εὐθὺς χρονικόν ἐστιν ἐπίῤῥημα. τὸ δὲ εὐθύ, τὸ δ' ἐξ ἐναντίας δηλοῖ.

Εὐεργεσία, καὶ χάρις διαφέρει. εὐεργεσία μὲν γάρ ἐστιν ἡ μεγάλη χάρις. χάρις δὲ ἡ ἐλάττων. οἷον χιτῶνα, ἢ κύνα χαρίζεται. εὐεργετεῖ δὲ οὔ.

Εὐθύ, καὶ ὀρθὸν διαφέρει. τὸ μὲν γὰρ εὐθὺ ἀντίκειται στρεβλῷ. τὸ δὲ ὀρθόν, τῷ πλαγίῳ.

Εὖ τοῦ καλῶς διαφέρει. εὖ μὲν τὸ ὀρθῶς σημαίνει. καλῶς δὲ τὸ χρήσιμον συνηρημένως. τὸ δ' εὖ καὶ καλῶς σημαίνει ὀρθῶς, καὶ χρησίμως.

Ἐχθρὸς πολεμίου, δυσμενοῦς διαφέρει. ἐχθρὸς μὲν γάρ ἐστιν ὁ πρότερον φίλος. πολέμιος δ' ὁ μεθ' ὅπλων χωρῶν πέλας. δυσμενὴς δ' ὁ χρόνιον πρὸς τόν ποτε φίλον τὸ μῖσος διατηρῶν, καὶ δυσδιαλλάκτως ἔχων.

Ζῆλος, καὶ ζηλοτυπία διαφέρει. ζηλοτυπία μὲν γάρ ἐστιν αὐτὸ τὸ πάθος, ἤγουν τὸ ἐν μίσει ὑπάρχον. ζῆλος δὲ μίμησις καλοῦ. οἷον ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς, ζηλοῖ δὲ γείτονα γείτων. ἡσίοδος. ἐπὶ καλοῦ. ζηλοτυπεῖ δὲ ἡ δεῖνα τόνδε.

Ζηλῶσαι τοῦ ἐρίσαι διαφέρει. ζηλοῦν μὲν γάρ ἐστι τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι. ἐρίζειν δὲ τὸ μετὰ μάχης φιλονεικεῖν.

Ζῆλος φθόνου διαφέρει. ζῆλος μὲν γάρ ἐστιν ἡ δι' ἐπιθυμίαν μίμησις γινομένη, δοκοῦντός τινος καλοῦ. φθόνος δὲ βασκανία τίς τῶν ἄλλοις μὲν προσόντων ἀγαθῶν, ἡμῖν δ' οὔ.

Ζῆλος μέν ἐστι λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, οἷα καὶ ἑαυτῷ τι ἐπιθυμεῖ περιποιῆσαι.

Ζήλων τρία εἴδη. ὁ μὲν γάρ ἐστι μακαρισμός. καθὰ καὶ φησί τις. ζηλῶ τὸν τοῦ δεῖνα ἐπὶ τῷδε. δεύτερος καθὸ ζηλωτής τινος λέγεται. οἷον θησεὺς ἡρακλέους. τρίτος δὲ ὁ φθόνῳ ὅμοιος.

Ζυγὸς ἀρσενικῶς μὲν ἐπὶ τῶν βοῶν. θηλυκῶς δὲ ἐπὶ τῶν σταθμῶν.

Ζώνη, καὶ ζώνιον διαφέρει. ζώνη μὲν γάρ ἐστιν ἡ τοῦ ἀνδρός. ζώνιον δὲ ἡ τῆς γυναικός.

Ἠγέρθη, καὶ ἀνέστη διαφέρει. ἠγέρθη μὲν λεκτέον ἀπὸ ὕπνου. ἀνέστη δὲ ἀπὸ κλίνης.

Ἦθος μέν ἐστιν ἀρχὴ ἐπιτηδεύματος. τρόπος δὲ ἐπίστασις πράξεων κατὰ στάσιν, καὶ ἀναστροφήν.

Ἤλπισαν, καὶ ἐπήλπισαν διαφέρει. ἤλπισαν μὲν γὰρ αὐτοί τινας ἐλπίδας ἔχοντες περί τινος. ἐπήλπισαν δὲ ἕτεροι ἑτέρους εἰς ἐλπίδα ἤγαγον.

Ἡμέρα ἠοῦς διαφέρει. ἡμέρα μὲν γάρ ἐστι τὸ κατάστημα μόνον ἀσώματον, ἣν ἡσίοδος νυκτὸς γενεαλογεῖ. νυκτὸς δ' αὖτ' αἰθήρ τε, καὶ ἡμέρα ἐξεγένοντο. ἠὼς δὲ τὸ συναμφότερον. ὃν πάλιν ἡσίοδος θείας ὑποτίθεται, θεία δ' αὖθ' ἠέλιόν τε μέγαν, λαμπράν τε σελίνην, ἠῶθ' ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει, γείνατο. ἐπὶ δὲ τῆς σωματοειδοῦς. ἀλλ' ἤτοι ἑτέρων μὲν χρυσόθρονος ἤρπασεν ἠώς.

Ἦς, καὶ ἦσθα, καὶ ἦ διαφέρει. τὸ μὲν γὰρ ἦσθα παρῳχημένον δηλοῖ χρόνον. τὸ δὲ ἦς, τὸν μέλλοντα. Ὅμηρος, Δηΐφοβ' ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα. ἀντὶ δὲ τοῦ ἦς Μένανδρος ἐν ψευδηρακλεῖ. ὑπὲρ μὲν οἴνου, μὴ δὲ γρὺ τυταθὶ λέγε. ἂν τἄλλα δ' ἦς ἄμεμπτος εἰς τὴν ἕκτην βοηδρομιῶνος ἐνδελεχῶς ἕξεις ἀεί. καὶ καθόλου πάντοτε οὕτω λέγεται ἀντὶ τοῦ μέλλοντος, καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν. οἷον, ἐὰν ἦς, ἐὰν λαλῇς, ὅπως λαλῇς, ἐὰν ἦς ἀγαθός. ὁ γοῦν λέγων πρός τινα, ἦς ποτε πλούσιος, ἀγνοήσει τὴν διαφοράν. δέον φάναι ἦσθα. τὸ δὲ ἦ, ἀντὶ τοῦ ἔφη τάττει Ὅμηρος. ἦ καὶ κυανέῃσιν. διαφέρει δὲ τὰ ῥήματα, τῇδε. ὅτι τὸ μὲν ἐπὶ πρώτου προσώπου μόνον τάσσεται. τὸ δὲ ἔφη ἐπὶ τριῶν ὡς ἔφημεν.

Ἡσυχία ὁτὲ μὲν σιωπὴν σημαίνει, ὁτὲ δὲ τὴν ἐπιείκειαν. ὁπότε φαμὲν, ἐν πολλῇ διάγειν ἡσυχίαν.

θ Αλαμὰς, ὡς ἀγαθὰς, καὶ θαλάμας ὡς μεγάλας διαφέρει φησὶ Τρύφων παρὰ τοῖς ἀττικοῖς ἐν δευτέρῳ περὶ ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν δηλώσει τὸ τῶν διοσκούρων ἱερὸν, ἐὰν δὲ βαρυτονήσωμεν, τὰς καταδύσεις μηνύει.

Θαυμάζω γενικῇ μὲν συντασσόμενον, σημαίνει τὸ καταγινώσκω, καὶ κατηγορῶ, οἷον θαυμάζω τῶν ταύτῃ ἐχόντων τὴν γνώμην. αἰτιατικῇ δὲ τὸ ἐπαινῶ, οἷον θαυμάζω τοὺς οὕτω φρονοῦντας.

Θεημαχία, καὶ θεομαχία διαφέρει. θεημαχία μὲν γάρ ἐστιν ἡ πρὸς θεὸν μάχη. θεομαχία δὲ αὐτῶν τῶν θεῶν πρὸς ἀλλήλους μάχη.

Θεωρὸς, καὶ θεατὴς διαφέρει. θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος. θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων. πότερον θεατὴς ἢ χάριν μαντευμάτων. καὶ Αἰσχύλος. βοᾷς τοιοῦδε πράγματος θεωρὸς ὤν. ἁμαρτάνουσιν οὖν οἱ λέγοντες, θεωρῆσαί με δεῖ τὸν ἀγῶνα, δέον εἰπεῖν, θεάσασθαι. διαστέλλει οὖν ταῦτα ἐπιμελῶς Λυσιμαχίδης ἐν τῷ πρὸς Κεκίλιον περὶ τῶν παρὰ τοῖς ἀττικοῖς ῥητόρων, καὶ πολλῶν παραθέσεις ποιεῖται. καί ἐστι τὸ θεάσασθαι, ὥσπερ πρόκειται, παρὰ τὴν θέαν. τὸ δὲ θεωρεῖν φησὶν οὐκ ἄλλο τι ἢ τὸ τῶν θεῶν ὠρεῖν. τοῦτο δὲ τὸ φροντίζειν. διὸ καὶ τοὺς τῶν θεαμάτων ἕνεκα πεμπομένους, σὺν θυσίαις δὲ, καὶ εὐσεβείᾳ, πάντας ὠνόμαζον θεωρούς, καὶ τὸ τοῖς ἀθηναίοις διδόμενον θεωρικόν. οὐχὶ τὰς θέας, ὡς Κεκίλιος ὑπέλαβεν, ἀλλὰ διὰ τὸ ἐν ταῖς ἑορταῖς εἰς τοὺς θεοὺς εὐσεβεῖν καὶ ἐπιθεῖν, καὶ εὐφραίνεσθαι.

Θεράποντες, καὶ οἰκέται διαφέρουσι. θεράποντες μὲν γὰρ οἱ ὑποτεταγμένοι φίλοι ὑφ' ὧν θεραπεύονται οἱ προσήκοντες. οἰκέται δὲ δεσποτῶν.

Θέσθαι, καὶ ἀποθέσθαι διαφέρει. θέσθαι μὲν γάρ ἐστι τὸ λαβεῖν ἀποθήκην. ἀποθέσθαι δὲ τὸ δοῦναι ὑποθήκην.

Θέλειν, καὶ βούλεσθαι ἐὰν λέγῃ τις, δηλώσει ὅτι ἀκουσίως τε, καὶ εὐλόγως ὀρέγεταί τινος.

Θερίζειν, τό τε διατρίβειν τὴν τοῦ θέρους ὥραν ὡς τὸ χειμάζειν, καὶ τὸ τοὺς δημητριακοὺς καρποὺς συλλέξαι.

Θηβαῖοι, καὶ θηβαγενεῖς διαφέρουσιν, καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν παιάνων Πινδάρου φησίν. καὶ τὸν τρίποδα ἀπὸ τούτου θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς ἰσμηνὸν πρῶτον. τί δ' ἐστὶ διαφορὰ θηβαγενέων πρὸς θηβαίους Ἔφορος ἐν τῇ δευτέρᾳ φησί. οὗτοι μὲν οὖν συνετετάχησαν εἰς τὴν βοιωτίαν, τοὺς δὲ τοῖς ἀθηναίοις ὁμόρους προσοικοῦντας, ἰδίᾳ θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν. ὕστερον δὲ οἱ σύμμικτοι ἦσαν πολλαχόθεν. ἐνέμοντο δὲ τὴν ὑπὸ τὸν κιθαιρῶνα χώραν, καὶ τὴν ἀπομάντιον τῆς εὐβοίας. ἐκαλοῦντο δὲ θηβαγενεῖς, ὅτι προσεγένοντο τοῖς ἄλλοις βοιωτοῖς διὰ θηβαίων.

Θῆς, λάτρις, ἀμφίπολος, ἄτμενος διαφέρουσι. θὴς μὲν γὰρ ὁ ἐπὶ μισθῷ δουλεύων, θῆτές τε δμῶές τε. λάτρις δὲ ὁ κατὰ πολεμικὴν περίστασιν ἁλοὺς, καὶ ἐπὶ δουλείαν προσαχθείς. ἀμφίπολος δὲ κοινὸν ὄνομα ἄρρενος καὶ θηλείας δούλης. ἄτμενος δὲ οὐ μόνον ὁ δοῦλος ἀλλὰ καὶ ὁ ὑποτεταγμένος ἐλεύθερος.

Θράσος, καὶ θάρσος διαφέρει. θράσος μὲν γάρ ἐστιν ἡ ἄλογος ὁρμή, θάρσος δὲ ἔλλογος ὁρμή.

Θύρα, καὶ θυραία, διαφέρει. θύρα μὲν γάρ ἐστι ἡ διαρχῆς γινομένη. Μένανδρος ἐν παρακαταθήκῃ θύραν ἔξελε. θυραία δὲ τὸ μέλλον πρὸς ἐκκοπὴν θύρας μέγεθος.

Θύεσθαι, τοῦ σφάττεσθαι διαφέρει. θύεσθαι μὲν γάρ ἐστιν ἐπὶ τιμῇ θεοῦ, καὶ τὸ μαντεύεσθαι ἐπὶ τιμῇ διὰ σπλάγχνων, θύεσθαι φαμέν. σφάττεσθαι δὲ τὸ δι' ἥν τινα οὖν αἰτίαν φονεύεσθαι. καὶ τὸ μὲν ἐπὶ ἀλόγου, τὸ δ' ἐπὶ ἀνθρώπου τάττεσθαι.

Θύουσι, καὶ θύονται διαφέρει. θύουσι μὲν γὰρ οἱ σφάττοντες τὰ ἱερεῖα. θύονται δὲ οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι.

Θύρα, καὶ θύραι διαφέρουσι. θύρα μὲν γάρ ἐστι τὸ ἐπίθεμα τὸ ἐκ τῶν σανίδων. θύραι δὲ τὸ ἄνοιγμα αὐτὸ, καὶ τὰ χαλάσματα τῆς θύρας.

Θυμὸς μέν ἐστι πρόσκαιρος. ὀργὴ δὲ πολυχρόνιος μνησικακία.

Ἱερεῦσαι, καὶ καθιερεῦσαι λέγουσιν ἐπὶ τῶν θυομένων ἱερείων. ἱερῶσαι δὲ καὶ καθιερῶσαι ἐπὶ τῶν ἀνατιθεμένων.

Ἱερεῖον, καὶ χρηστήριον διαφέρει. ἱερεῖον μὲν γάρ ἐστι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἅπασαν. χρηστήριον δὲ τὸ ἱερὸν ᾧ χρῶνται χρηστηριαζόμενοι. Ἡρόδοτος, κατά περ ἔτι καὶ νῦν ὅταν χρηστήρια θύωσιν ἐν τῷ ἱερῷ.

Ἱερὰ τούς τε περιβόλους τῶν ναῶν, καὶ τὰ σφάγια, καὶ τὰ ὀστᾶ τῶν ἀνθρώπων. ὡς Ὑπερείδης

ἐν τῷ κατὰ

ἐν τῷ κατὰ ἀρχεστρατίδου. καὶ τὰ ξόανα, ὡς Θεόπομπος ἐν εἰκοστῇ ἕκτῃ.

Ἱκέσθαι, καὶ ἀφικέσθαι διαφέρει, ὥς φησιν Ἡρακλείδης. ἱκέσθαι μὲν γάρ ἐστι τὸ ἐλθεῖν. ἀφικέσθαι δὲ τὸ ἐπανελθεῖν. ὅμως τὴν διαφορὰν φησὶν οὐ δ' αὐτὸς ἀφίκετο πατρίδα γαῖαν, καὶ ἵκετο δ' ἐς μαραθῶνα, καὶ εὐρυάγυιαν ἀθήνην.

Ἰδουμαῖοι, καὶ ἰουδαῖοι διαφέρουσιν, ὥς φησι Πτολεμαῖος ἐν πρώτῳ περὶ Ἡρώδου τοῦ βασιλέως. Ἰουδαῖοι μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς φυσικοί. ἰδουμαῖοι δὲ τὸ μὲν ἀρχῆθεν οὐκ ἰουδαῖοι, ἀλλὰ φοίνικες, καὶ σύροι, κρατηθέντες δὲ ὑπ' αὐτῶν, καὶ ἀναγκασθέντες περιτέμνεσθαι, καὶ συντελεῖν εἰς τὸ ἔθος, καὶ τὰ αὐτὰ νόμιμα ἡγεῖσθαι, ἐκλήθησαν ἰουδαῖοι.

Ἶπες, καὶ θρῖπες, καὶ κίες, καὶ ἶκες διαφέρουσιν. ἶπες μὲν γὰρ λέγονται θηρίδια τὰ διαβρωτικὰ τῶν κεράτων. ὅμηρος. μὴ κέρα ἶπες ἔδοιεν. θρῖπες δὲ τὰ ἐσθίοντα τὰ ξύλα. καὶ θριπήδεστα τὰ ὑπὸ θριπῶν βεβρωμένα ξύλα, οἷς καὶ ἀντὶ σφραγίδων ἐχρῶντο. ὅτι ἦν δυσπαράπιστα. κίες δὲ τὰ ἐν ταῖς κριθαῖς, καὶ ἐν τοῖς πυροῖς θηρίδια. ἶκες δὲ τὰ διεσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων. ἀλκμάν, καὶ ποικίλον ἶκα, τὸν ὀφθαλμῶν ἀμπέλων ὀλετῆρα.

Ἴσοι, καὶ κοινοὶ διαφέρει. Πλάτων ἐν Πρωταγόρᾳ. χρὴ γὰρ τοὺς ἐν τοῖσδε λόγοις παραγινομένους, κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς. ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταυτόν. κοινὸν μὲν γὰρ ἀκοῦσαι ἀμφοτέρων χρή, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἔλασσον.

Ἰσοτελὴς, καὶ μέτοικος διαφέρει. ἰσοτελὴς μὲν γὰρ ὁ τετιμημένος, ὁ ἐν τῷ ἴσῳ τάγματι τοῖς πολίταις, καὶ τὸ μὲν μετοίκιον μὴ τελῶν, πάντα δὲ ἔχων τὰ αὐτὰ τοῖς πολίταις πλὴν τοῦ ἄρχειν. μέτοικος δὲ ὁ μετοικήσας εἰς ἑτέραν πόλιν ἐκ τῆς ἑαυτοῦ, καὶ τοῦ μὲν ξένου πλέον τι ἔχων, τοῦ δὲ πολίτου ἔλαττον. ἐτέλει δὲ ὁ μέτοικος κατ' ἐνιαυτὸν μετοικίου δραχμὰς δώδεκα, καὶ ἐν τῇ τῶν ἀθηναίων πομπῇ, σκάφην ἔφερε κηρία ἔχουσαν, ὅθεν καὶ σκαφηφόρους ἔλεγον τοὺς μετοίκους. πολλάκις δὲ καὶ συνεστράτευον τοῖς ἀθηναίοις.

Ἰσθμὸς, καὶ πορθμὸς διαφέρει. ἰσθμὸς μὲν γάρ ἐστι τῆς στενῆς δίοδος, ἑκατέρωθεν θαλάσσης περιερχομένης. πορθμὸς δέ ἐστιν στενὸς θαλάσσης πόρος ἑκατέρωθεν ὑπὸ γῆς περιερχόμενος.

Ἴσθι, καὶ γίνωσκε διαφέρει. ἴσθι μὲν γὰρ ἀντὶ τοῦ γίνωσκε τάσσεται. αὐτὴ δ' οἴη ἴσθι ἀντὶ τοῦ γίνωσκε, καὶ τὸ πληθυντικὸν ἴστε, ἀντὶ γινώσκετε. καὶ Μένανδρος ἐν Ἥρωϊ. εὖ ἴσθι κἀγὼ τοῦτο συγχωρήσομαι. τάσσουσι δὲ ὅμως καὶ ἀντὶ τοῦ ἰδίου τὸ ἴσθι. Εὔφημος. ἴσθι μοῦνον ἐξορμωμένη, ἀντὶ τοῦ γίνου.

Ἱστοριογράφος συγγραφέως διαφέρει. ἱστοριογράφος μὲν γάρ ἐστιν ὁ τὰ πρὸ αὐτοῦ γεγονότα συγγραφόμενος ὡς Ἡρόδοτος. συγγραφεὺς δὲ ὁ τὰ ἀφ' ἑαυτοῦ, ὡς Θουκυδίδης.

Ἱστοδόκη, καὶ ἱστοπέδη διαφέρουσιν. ἱστοδόκη μὲν γάρ ἐστιν ἐφ' ἧς ὁ ἱστὸς κατακλίνεται. ὅμηρος. ἱστὸν δ' ἱστοδόκῃ πέλασαν. ἱστοπέδη δὲ ὁ ἐν μέσῳ τῆς νεὼς κοῖλος τόπος. τινὲς δὲ ληνίδα καλοῦσιν εἰς ὃν ὁ ἱστὸς ἐντίθεται. ἀλλά με δεσμῷ δῆσαν ἐν ἀργαλέῳ ὄφρ' ἔμπεδον αὐτόθι μίμνω ὀρθὸν ἐν ἱστοπέδῃ.

Ἰταλοὶ καὶ ἰταλιῶται διαφέρουσιν. ἰταλοὶ μὲν γὰρ οἱ ἀρχῆθεν τὴν χώραν οἰκοῦντες. ἰταλιῶται δὲ, ὁπόσοι τῶν ἑλλήνων ἐπῴκησαν μετὰ ταῦτα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν σικελιωτῶν.

ΚΑτοίκησις, καὶ κατοίκισις διαφέρει. ὥς φησιν Ἀπολλωνίδης ὁ νικαεὺς ἐν τῷ τρίτῳ περὶ κατεψευσμένων. κατοίκισις μὲν γάρ ἐστιν ἡ ὑφ' ἑτέρων γινομένη ἵδρυσις. κατοίκησις δὲ ὅταν αὐτοί τινες οἰκήσωσι τόπον, ἢ πόλιν τινὰ καταλαβόντες. οἷον ἀθηναῖοι κατῴκισαν μὲν τὴν ἀκρόπολιν, κατῴκισαν δὲ ἴωνας. καὶ ἔστι παρὰ μὲν τὸ κατοικεῖν ἡ κατοίκησις. παρὰ δὲ τὸ κατοικίζειν ἡ κατοίκισις.

Καταβολὴ, καὶ εἰσβολὴ διαφέρει. καταβολὴ μὲν γὰρ ἡ ἔκτισις τοῦ εἰσφερομένου ἀργυρείου. εἰσβολὴ δὲ περίοδος τοῦ πυρετοῦ.

Κάταμμα, καὶ κάταγμα διαφέρει. κάταμμα μὲν τὸ ἐκτεταμένως τὸ κατεαγὸς, καὶ συντετριμμένον. κάταγμα δὲ βραχέως τὸ τοῦ ἔριον ἕλκυσμα.

Καταχύματα, καὶ καταχύσματα διαφέρει. καταχύματα μὲν γὰρ χωρὶς τοῦ σ τὰ καταχεόμενα ὕδατα ἐπὶ λουτρῶνος, καὶ τῶν ἄλλων ὁμοίων. καταχύσματα δὲ σὺν τῷ σ. αἱ ἰσχάδες καὶ τὰ ἄλλα τραγήματα τῶν νέων, ἢ τῶν δούλων ἃ κατέχεον. ἀριστοφάνης. ἔπειτ' οὐχὶ δέξῃ δὴ τὰ καταχύσματα. καὶ Δημοσθένης ἐν τῷ κατὰ στεφάνου ψευδομαρτυριῶν. ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέσποιναν ἂν γῆμαι. ἢ τὰ καταχύσματα αὐτοῦ κατέχευε τότε, ἡνίκα ἐωνήθη.

Κάδος, καὶ καδίσκος διαφέρει. κάδος μὲν λέγεται ᾧ ἐκ τοῦ φρέατος ἀνιμῶσι τὸ ὕδωρ. καδίσκος δὲ ἀγγεῖον εἰς ὃ τὰς ψήφους ἐμβάλλουσι.

Καθάρσια, καὶ καθάρματα διαφέρει. καθάρσια μὲν γὰρ λέγονται τὰ ἱερὰ, καὶ τὰ ἄλλα οἷς καθαίρονται. καθάρματα δὲ τὰ μετὰ τὸ καθαρθῆναι ἀπορριπτούμενα.

Κανθαρίζειν, καὶ τονθορίζειν διαφέρει. κανθαρίζειν μὲν γὰρ λέγουσιν οἱ ἀττικοὶ τὸ τρέμειν. τονθορίζειν δὲ τὸ ψυθυρίζειν, καὶ γογγύζειν.

Καιρὸς, καὶ χρόνος διαφέρει. καιρὸς μὲν γάρ ἐστι μέρος χρόνου, οἷον μεμετρημένων ἡμερῶν σύστημα. χρόνος δὲ πολλῶν καιρῶν περιοχὴ, καὶ σύλληψις. ἄλλως. ὁ μὲν καιρὸς δηλοῖ ποιότητα χρόνου, οἷον ὅτε πόλεμος ἦν. χρό-

νος δὲ ποσότητα, οἷον πρὸ δέκα χρόνων, ἢ μετὰ δέκα ἔτη.

Κ άλλαια, καὶ κάλλη διαφέρει. κάλλαια μὲν γὰρ οἱ τῶν ἀλεκτρυόνων πώγωνες. κάλλη δὲ τὰ ἄνθη τῶν βαμμάτων.

Κ άθησον τοῦ κάθισον διαφέρει. κάθησον μὲν γὰρ ἐροῦμεν αὐτῷ τινι περὶ ἑαυτοῦ κελεύοντες. κάθισον δὲ περὶ ἑτέρου. κάθισον αὐτόν.

Κ ακὸς πονηροῦ διαφέρει, ὥσπερ ὁ ἄκακος τοῦ ἀγαθοῦ. κακὸς μὲν γὰρ ὁ πανοῦργος. πονηρὸς δὲ ὁ δραστικὸς κακοῦ.

Κ ακοήθεια μέν ἐστι κακία κεκρυμμένη. κακοτροπία δὲ ποικίλη, καὶ παντοδαπὴς πανουργία.

Κ έλης καὶ ἐπακτροκέλης διαφέρει. κέλης μὲν γάρ ἐστι πηδάλιόν τι μικρόν. ἐπακτροκέλης δὲ κακοῦργον, καὶ λῃστρικὸν σκάφος μεταξὺ ἐπακτρίδος, καὶ κέλητος. αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου. ἀλλ᾽ αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ, καὶ τὸ μηδὲν ἱκανὸν εἶναι ταῦτα πληρεῖ τὰ λῃστήρια. ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει. ἐπακτῆρες δὲ κυνηγέται καλοῦνται.

Κ έλυφος κελύφανον, καὶ ἔλυτρον διαφέρει. κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀστρακοδέρμων. οἷον τῶν κογχυλίων. κελύφανον δὲ ἐπὶ τῶν τραγημάτων, καὶ ὀσπρείων. ἔλυτρον δὲ τὸ ὑγρὸν χώρημα.

Κ έδρος θηλυκῶς μὲν τὸ δένδρον. ἀρσενικῶς δὲ ὁ καρπός. ἀλλὰ θύε τοῦ κέδρους.

Κ ηρύξαι, ἀποκηρύξαι, καὶ ἐπικηρύξαι διαφέρει. κηρύξαι μὲν γὰρ καὶ ἐπικηρύξαι λέγουσιν ἐπὶ τοῦ ὑπὸ κήρυκα ἀποδίδοσθαί τι. μένανδρος, ἀπεκήρυξεν αὐτὴν ἀγαπῶν. οἷον ὑπὸ κήρυκι ἐπώλησεν. ἐπικηρύξαι δὲ τὸ ὑπισχνεῖσθαι χρήματα δώσειν τῷ συλλαβόντι, καὶ ἀνάγοντι, καὶ ἀποκτείναντί τινα τῶν δικασθέντων.

Κ ιβωτὸς, καὶ κίστη διαφέρει. κιβωτὸς μὲν γάρ ἐστιν ἡ ξυλίνη. διὸ καὶ ἀντίπηξ καλεῖται, κίστη δὲ ἡ πλεκτή.

Κ ίνησις περιφορᾶς διαφέρει. κίνησις μὲν γάρ ἐστι κυρίως ἡ ἐκ τόπου εἰς τόπον μετάβασις. περιφορὰ δὲ ἡ περὶ τὸν αὐτὸν τόπον στροφή.

Κ ίθαρις, καὶ κιθάρα διαφέρει. φησὶν ἀριστόξενος ἐν τῷ περὶ ὀργάνου. κίθαρις γάρ ἐστιν ἡ λύρα, καὶ οἱ χρώμενοι αὐτῇ κιθαρισταὶ, οὓς ἡμεῖς λυρῳδοὺς φαμέν. κιθάρα δὲ ᾗ χρῆται ὁ κιθαρῳδός. αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου διαστέλλει, καὶ φησὶν οὕτω περὶ αὐτοῦ. εἶχε κιθαριστὰς, καὶ κιθαρῳδούς. κιθαριστὴς μέν ἐστιν ὁ μόνον ψάλλων. κιθαρῳδὸς δὲ ὁ ᾄδων, καὶ ψάλλων.

Κ λῆσις, καὶ πρόκλησις διαφέρει. κλῆσις μὲν γάρ ἐστιν ἡ εἰς ὁποιονοῦν τῶν δικαστηρίων γινομένη. πρόκλησις δὲ ἡ εἰς ἄρειον πάγον.

Κ λῆμα κλίματος διαφέρει. κλῆμα μὲν γάρ ἐστιν εἶδος ἀμπέλου. κλίμα δὲ μέρος τι τοῦ κόσμου.

Κ λύσαι μὲν λέγεται ποτήριον, ἢ ἀγγεῖον. νίψαι δὲ πρόσωπον, καὶ πόδα. πλῦναι δ᾽ ἐσθῆτα.

Κ όρδαξ, καὶ κόρδαξ διαφέρει. κόρδαξ μὲν γὰρ ἐστιν εἶδος ὀρχήσεως. κάρδαξ δέ τις ἐκαλεῖτο στρατιώτης. βάρβαρος δὲ ἡ λέξις. καλεῖται δὲ ἡ μὲν στρατηγικὴ ὄρχησις ἐμμέλεια. σίκινις δὲ ἡ σατυρική. κόρδαξ δὲ ἡ κωμική.

Κ ομιδῆ, καὶ κομιδὴ διαφέρει. κομιδῆ γὰρ περισπωμένως ἐπίρρημα, καὶ σημαίνει τὸ παντελῶς. κομιδὴ ὀξυτόνως ὄνομα, οἷον οὐ σφῷν κομιδή. λέγεται δὲ ἡ ἀπόληψίς τινος κομιδὴ παρὰ τὸ κομίσασθαι, καὶ ἀπολαβεῖν.

Κ όπτει, καὶ ψοφεῖ διαφέρει. κόπτει μὲν γὰρ τὴν θύραν ὁ ἔξωθεν. ψοφεῖ δὲ ὁ ἔσωθεν ἐξιών.

Κ ομᾶν, καὶ κουριᾶν διαφέρει. κομᾶν μὲν γάρ ἐστι τὸ ἐπί τινος σεμνύνεσθαι τῶν καλῶς πεπραγμένων, καὶ τρέφειν τὴν κόμην. κουριᾶν δὲ τὸ κουρᾶς ἐπιδεῖσθαι, καὶ τὴν κόμην καθεικέναι.

Κ όρυδος, καὶ κορύδαλος διαφέρει. κόρυδος μὲν γὰρ τὸ ὄρνεον, λέγεται δὲ γῆς ἱερόν. κορύδαλος δὲ δῆμος ἀθήνησιν, ἐν ᾧ σωτῆρος κούρης ἱερόν.

Κ όνιος, καὶ κονὶς διαφέρει. τὸ γὰρ λεπτότατον τῆς γῆς κονὶς ὀξύνεται. τὸ δὲ ἐπὶ τῆς κεφαλῆς γινόμενον φθειρῶδες, βαρύνεται.

Κ όσμος οἰκουμένης διαφέρει. τὸ μὲν περιέχει οἰκουμένην, καὶ ἄστρα. τὸ δὲ γῆν μόνον τὴν φανεράν.

Κ τήματα, καὶ ἐπικτήματα διαφέρει. κτήματα μὲν γάρ ἐστι τὰ ἐν τῇ οἰκίᾳ, ἐπικτήματα δὲ τὰ ἐν ἀλλοτρίᾳ.

Κ τῆσις μέν ἐστι πᾶσα ἡ οὐσία. κτῆμα δ᾽ ἕν τι.

Κ ραιπάλη, καὶ μέθη διαφέρει. κραιπάλη μὲν γάρ ἐστιν ἡ χθεσινή. μέθη δὲ ἡ τῆς αὐτῆς ἡμέρας γινομένη οἴνωσις.

Κ ύπτειν, καὶ κυπτάζειν διαφέρει. κύπτειν μὲν γάρ ἐστι τὸ ἐπικάμπτεσθαι τῷ σώματι. κυπτάζειν δέ ἐστι τὸ γραλλύεσθαι. ἀριστοφάνης ἐν νεφέλαις. χώρει τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

Κ υβεύειν, καὶ πεττεύειν διαφέρει. κυβεύειν γάρ ἐστι τὸ διὰ ψήφων, ἢ ἀστραγάλων παίζειν. πεττεύειν δὲ τὸ διὰ ψήφων.

Κ ρίνειν, τοῦ διακρίνειν διαφέρει. κρίνειν μὲν γὰρ τὸ κυρίως δοκιμάζειν. διακρίνειν δὲ τὸ πρᾶγμα πράγματος διιστᾶν, καὶ χωρίζειν.

Κ ύειν, καὶ τίκτειν διαφέρει. κύειν μὲν τὸ ἔγκυον εἶναι. τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. εὐριπίδης ἐναντίον ἡ κύουσα τίκτω εἶπεν ἡνίκ᾽ ἠγόμην πάλιν.

Κ ύριος, καὶ δεσπότης διαφέρει. κύριος γὰρ τῆς γυναικὸς ὁ ἀνὴρ, καὶ τῶν υἱῶν ὁ πατήρ. δεσπότης δ᾽ ἀργυρωνήτων τινῶν ἄλλων.

Κ ωφὸς, καὶ ἐνεὸς ὁ αὐτὸς παρὰ τοῖς παλαιοῖς ἐλέγετο ὁ μὴ φθεγγόμενος. ὅμηρος κύματι κωφῷ τὸ μὴ ἀποτελοῦντι ἦχον, καὶ ἡσυχίᾳ, καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω, παραλλήλως ἔταξε. νῦν δὲ κωφὸς ὁ βεβλαμμένος τὴν ἀκοὴν λέγεται.

Κ ωμῳδὸς, καὶ τραγῳδὸς λέγεται ὁ χορευτὴς, καὶ ὑποκριτής. κωμῳδοποιὸς δὲ καὶ τραγῳδοποιὸς

ᾠδοποιός οἱ ποιηταί. ἐνίοτε δὲ συγχέουσι τὴν διαφοράν.

Λαγχάνειν, καὶ κληρώσασθαι διαφέρει. λαγχάνει μὲν εἷς, οὗ ἂν ὁ κλῆρος ἔλθῃ. Ὅμηρος. κλήρῳ νῦν πεπάλαχθε διαμπερὲς ὅς κε λάχῃσι. κληροῦνται δὲ οἱ καθιέντες εἰς τὸν κλῆρον. καὶ λαγχάνειν μέν ἐστι τὸ ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν. κληρώσασθαι δὲ τὸ κλήρῳ χρήσασθαι.

Λαλεῖν, καὶ λέγειν, καὶ διαλέγεσθαι διαφέρει. λέγειν μὲν τὸ τεταγμένως προφέρεσθαι τὸν λόγον. λαλεῖν δὲ τὸ ἀτάκτως ἐκφέρειν τὰ ἐμπίπτοντα ῥήματα. διαλέγεσθαι δὲ τὸ ἀμείβεσθαι, καὶ λόγον ἀντὶ λόγου παραδιδόναι πρὸς τὸν ἀντιλέγοντα. Πλάτων ἐν σοφιστῇ. οἱ δ' ἄλλοι φιλόσοφοι διαιροῦσιν οὕτως. λαλεῖν μὲν τοὺς ἀτάκτως ἐκφέροντας ὁντινοῦν λόγον. διαλέγεσθαι δὲ, καὶ λέγειν τοὺς μετ' ἐπιμελείας λέγοντας. διαφορὰν δὲ τῶν δύο τούτων λέγουσι. καὶ τὸ μὲν διεξιέναι λόγον συνείροντες, λέγειν φασί. διαλέγεσθαι δὲ τὸ ἀμειβόμενον τοὺς λόγους κατ' ἐρώτησιν, καὶ ἀπόκρισιν ποιεῖσθαι.

Λαβεῖν, καὶ δέξασθαι διαφέρει. λαβεῖν μὲν γάρ ἐστι τὸ κείμενόν τι ἀνελέσθαι. δέξασθαι δὲ τὸ διδόμενον ἐκ χειρός.

Λέπας, καὶ λεπὰς διαφέρει. λέπας μὲν γὰρ βαρυτόνως ἐστὶ ὄρους ἀπόσπασμα. λεπὰς δὲ ὀξυτόνως ἐν ταῖς πέτραις γινόμενόν τι ὄστρεον.

Λέμβοι, καὶ λέμφοι διαφέρει. λέμβος μὲν γὰρ ἐστὶ πλοιαρίου τινὸς εἶδος. λέμφος δὲ παρὰ ἀττικοῖς οἱ κορυζώδεις ἐλέγοντο, καὶ μυξώδεις. Μένανδρος. ὑποβολιμαίοις γέρων ἀμέμικτ' ἄθλιος λέμφος.

Λέχος, καὶ εὐνὴ διαφέρει. λέχος μὲν γάρ ἐστιν ἡ κλίνη. εὐνὴ δὲ ἡ ἐπὶ ταύτης στρωμνή. φησὶ γοῦν πηνέων ἐνύδαοι ἐκθεῖσα πυκνὸν λέχος ἐμβάλλετ' εὐνὴν, δέμνια, καὶ χλαίνας.

Λείαν, καὶ λίαν διαφέρει. λεία μὲν γὰρ διὰ διφθόγγου σημαίνει τὴν ἐπέλασιν τῶν τετραπόδων. ληΐδα δ' ἐκ πεδίου συνελάσαμεν. Διὰ δὲ τοῦ ι, ἐπίρρημα δηλοῖ ἐπιτάσεως. ἐάν τε ἐκτείνηται, ἐάν τε συστέλληται.

Λῆμα, καὶ λῆμμα διαφέρει. λῆμα μὲν γὰρ ἐστὶ δι' ἑνὸς μ τὸ παράστημα τῆς τύχης. λῆμμα δὲ διὰ δύο μμ τὸ λαμβανόμενον.

Λητουργεῖν, διὰ τοῦ η, καὶ λιτουργεῖν διὰ τοῦ ι, διαφέρει. φησὶ Δίδυμος ἐν ὑπομνήματι δευτέρας Ἰλιάδος. τὸ μὲν γὰρ λητουργεῖν τὸ τῷ δήμῳ ὑπηρετεῖν, λῆιτον γάρ φασι τὸ δημόσιον. λήϊτον ἀμφεπένοντο. τὸ δὲ λιτουργεῖν κακὰ λέγειν.

Λίβανος, καὶ λιβανωτὸς διαφέρει. λίβανος μὲν ἡ κοινῶς καὶ τὸ δένδρον καὶ τὸ θυμιώμενον. λιβανωτὸς δὲ μόνον τὸ θυμιώμενον.

Λογογράφος, καὶ λογοποιὸς διαφέρει. λογογράφος μὲν γάρ ἐστιν ὁ τοὺς δικανικοὺς λόγους γράφων. λογοποιὸς δὲ ὁ λόγους τινὰς, καὶ μύθους συντιθείς.

Λόγος ποιήσεως διαφέρει. λόγος μὲν γάρ ἐστιν ἡ δίχα μέτρου σύνταξις. ποίησις δὲ ἡ σύνθεσις ἡ μέτρῳ κοσμουμένη.

Λυχνοῦχον, καὶ λαμπτῆρα φασὶ τὸν νοῦν. φανὸν δὲ τὴν λαμπάδα. καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ. οἱ δὲ τραγικοὶ διὰ τοῦ π πανός. λυχνεῖον δὲ ἐκάλουν τὴν λυχνίαν.

Λυχνίον λύχνου διαφέρει. λυχνίον μὲν γάρ ἐστιν ἡ λυχνία, ὡς Ἀντιφάνης φησὶν ἐν Ἀφροδίτης γοναῖς. λύχνος δὲ ὁ φανός. Μένανδρος ἐν νομοθέταις ἑτέρου λυχνοῦχος, ἑτέρου λήκυθος.

Μάχαιρα, καὶ μαχαιρὶς διαφέρει. μάχαιραν μὲν γὰρ ὁμοίως ἡμῖν λέγουσιν οἱ ἀττικοί. μαχαιρίδας δὲ τὰς τῶν κουρέων.

Μακρολόγος, καὶ πολυλόγος διαφέρει. μακρολόγος μὲν γάρ ἐστιν ὁ περὶ ὀλίγων πολλὰ λέγων. πολυλόγος δὲ ὁ περὶ πολλῶν πολλὰ λέγων.

Μαστὸς, μαζοῦ διαφέρει. μαστὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος. κυρίως δὲ τὸ οἷον μεστὸς εἶναι γάλακτος. μαζὸς δὲ ὁ ἀνδρεῖος, ὡς καὶ ὁ ποιητὴς φησι, νευρὰ μὲν μαζῷ πέλασε, τόξῳ δὲ σίδηρον.

Μάρτυς ἐλέγχου διαφέρει. μάρτυς μὲν γὰρ ἐπ' ἀγαθοῦ λαμβάνεται. ἔλεγχος δὲ ἐπὶ φαύλου.

Μάχη, καὶ πόλεμος διαφέρει. μάχη μὲν γάρ ἐστιν ἡ ἐν πολέμοις ἐνέργεια. πόλεμος δὲ ὁ χρόνος, καὶ ἡ πρὸς τὴν μάχην παρασκευή.

Μαρτυρία, καὶ ἐκμαρτυρία διαφέρει. μαρτυρία μὲν γάρ ἐστιν ἡ τῶν ἐπιδημούντων. ἐκμαρτυρία δὲ ἡ τῶν ἀποδημούντων. ὡς διασαφεῖ Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος αἰκίας λέγων. πολλὰ κἀγαθὰ ὦ ἄνδρες δικασταὶ γένοιτο ἡμῖν, καὶ τῷ νομοθετήσαντι ἐξεῖναι τῶν ἀποδημούντων ἐκμαρτυρίας παρέχεσθαι.

Μάγον τόν τε φαρμακὸν ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος, καὶ τὸν περὶ τοὺς θεοὺς ὀργουργὸν ὡς Ἡρόδοτος.

Μανία μέν ἐστιν ἔκστασις λογισμοῦ. λύσσα δὲ ἐπιτεταμένη μανία. οἶστρος δὲ μανιώδης ἐπιθυμία.

Μαντική μέν ἐστιν ἡ τέχνη. μαντεία δὲ ὁ χρησμός.

Μέτοικος, καὶ ἰσοτελὴς διαφέρει. μέτοικος μὲν γάρ ἐστιν ὁ ὑπόφορος. ἰσοτελὴς δὲ ὁ ὁμοῦ τελῶν τι ἢ ἀρχαν.

Μεταβάλλεσθαι, καὶ μεταμορφοῦσθαι, καὶ ἀλλοιοῦσθαι, καὶ ἑτεροιοῦσθαι διαφέρει. μεταβάλλεσθαι μὲν γὰρ ἐστὶ πάθος κοινόν. καὶ γὰρ καιρῶν γίνονται, καὶ πράξεων, καὶ ἀφροδισίων. ὁ γοῦν Εὐριπίδης ἐν Ὀρέστῃ παριστᾶν τὴν δύναμιν τῆς λέξεως φησί. μεταβολὴ πάντων γλυκύ. μεταμορφοῦσθαι δὲ μεταχαρακτισμὸς καὶ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα. ἀλλοίωσις δὲ οὐ μόνον μετασχηματισμὸς χαρακτήρων. ὡς τὸ ἀλλοῖός μοι ξεῖν' ἐφάνης ἠὲ πάροιθεν, ἀλλὰ καὶ τῆς προτέρας ὑπολήψεως ποίησις ἑτέρα. ἑτεροίωσις δ' ὅταν ἀφ' ἑτέρου σώματος εἰς

ρον μεταβάλῃ, οἷον Νιόβη εἰς λίθον.

Μεῖραξ, καὶ μειράκιον, καὶ μειρακίσκος διαφέρει. μειράκιον γὰρ, καὶ μειρακίσκος ὁ ἄρσην. μεῖραξ δὲ ἡ θήλεια.

Μετρεῖσθαι, καὶ ἵστασθαι διαφέρει. μετρεῖσθαι μὲν γὰρ ἔλεγον οἱ παλαιοὶ μέτρῳ λαμβάνειν πυρὸν ἤτοι τοιοῦτον ἐν δάνει, ἵνα ἀποδῷ. Ἡσίοδος εὖ μὲν μετρεῖσθαι, εὖ δ' ἀποδοῦναι, οὐχὶ ἀργύρειον, ἢ χρύσιον, οὐδέπω γὰρ ἦσαν νομίσματα. ἵστασθαι δὲ Ὅμηρος, δείδω μὴ τὸ χθιζὸν ὑποστήσονται ἀχαιοὶ χρεῖος. οἷον τὸ γενόμενον αὐτοῖς ἐλάττωμα ἐν τῷ μάχεσθαι, ἀντὶ χρεολυτήσωσι, καὶ ἀντιστήσονται. ὡσπερεὶ ὀφειλόμενον δάνος. χρήσασθαι δ' ἔλεγον ἱμάτιον, ἢ σκεῦος.

Μέμψασθαι, ἐγκαλεῖν, καὶ ψέγειν διαφέρει. μέμψις μέν ἐστιν ἀμελοῦντος κατηγορία. ψόγος δ' ἐπονείδιστος.

Μινυρίζειν, καὶ μινύρεσθαι διαφέρει. μινυρίζειν μὲν γάρ ἐστι τὸ ἠρέμα προσᾴδειν. μινύρεσθαι δὲ τὸ θρηνεῖν, τὸ δ' αὐτὸ καὶ κινύρεσθαί φασιν.

Μισητή, καὶ μισήτη διαφέρει παρὰ τοῖς ἀττικοῖς, ὥς φησι Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μίσους. καθὰ καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ προφερόμεθα. ἐὰν δὲ βαρυτονήσωμεν, τὴν καταφερῆ πρὸς συνουσίαν. τὴν δὲ διαφορὰν τῶν σημαινομένων καὶ παρὰ Δωριεῦσί φασι φυλάττεσθαι, καὶ παρ' Ἴωσι.

Μισθὸς μισθώματος διαφέρει. μισθὸς μέν ἐστιν ὁ δίκαιος μισθός. μίσθωμα δὲ τὸ ἐπονείδιστον.

Μνήμη, καὶ μνεία διαφέρει. ἔτι μὲν γὰρ μνήμη, ἔστιν οὐ πάντως, καὶ μνεία. ἔτι δὲ μνεία, ἔστιν εὐθέως καὶ μνήμη. ἔστι δὲ μνήμη γενικὴ τύπωσις ψυχῆς. μνεία δὲ λόγος κατὰ ἀνανέωσιν λεγόμενος. ὁ μὲν γὰρ μιμνησκόμενος οὐ πάντως καὶ μνήσκεται. ὁ δὲ μεμνημένος πάντως καὶ μιμνήσκεται. ἄλλως, μνήμη ἐστὶν ἡ τῷ μνημονικῷ ἀεὶ συνοῦσα. μνεία δὲ προγεγονότος τινὸς ὑπόμνησις. ὥστε ὁ τούτοις ἐναλλὰξ χρώμενος, ἁμαρτήσεται.

Μνημεῖα, καὶ μνήματα διαφέρει. μνημεῖα μὲν γὰρ ἔλεγον τὰ μνημόσυνα. μνήματα δὲ τοὺς τάφους. μνήμη μὲν γὰρ γίνεται νεκροῦ. μνεία δὲ ζῶντος.

Μοχθηρός, μόχθηρος, καὶ πόνηρος διαφέρουσι. μοχθηρὸς μὲν γὰρ ὀξυτόνως, ὁ τὰ ἤθη πονηρός. λέγουσι δὲ ἁπλῶς τὰ φαῦλα, καὶ μοχθηρὰ, πονηρά, ὡς Θουκυδίδης, πονηρὰ τὰ πράγματα τῶν Ἀθηναίων, ἀντὶ τοῦ φαῦλα. μόχθηρος δὲ ὁ ἐπίπονος, ὡς καὶ πόνηρος.

Μύριοι, ἐπὶ ἀριθμοῦ. μυρίοι δὲ οἱ πολλοί.

Μῦθος, καὶ ἱστορία διαφέρει. ἱστορία μὲν γὰρ γεγονότα πράγματα περιέχει. ὁ δὲ μῦθος διαπεπλασμένα, καὶ ψευδῆ. ὁ γοῦν λέγων, εὖ πεποίηται ἡ περὶ τὸν κύκλωπα ἱστορία. ἢ ἄλλο τι τοιοῦτον, οὐκ ἄγαν ὀρθοεπεῖ. μᾶλλον γὰρ ἁρμόζει λέγειν, εὖ πεποίηται περὶ τὸν κύκλωπα μῦθος.

Ναὸς, καὶ σηκὸς διαφέρει. ὁ μὲν γὰρ ναός ἐστι θεῶν, ὁ δὲ σηκὸς ἡρώων.

Ναύκληροι, καὶ ναυκράροι διαφέρει. ναύκληροι μὲν γάρ εἰσιν οἱ ναῦς κεκτημένοι. ναύκραροι δὲ οἱ εἰσπραττόμενοι τὰ δημόσια κτήματα. καὶ ναυκραρεῖα οἱ τόποι ἐν οἷς ἀνέκειντο τὰ κτήματα. ἐλέγοντο δὲ ὁμοίως ναύκληροι καὶ οἱ μισθωτοὶ τῶν συνοικιῶν.

Ναυαγία μέν ἐστιν αὐτὴ ἡ τῆς νηὸς διαφθορά. ναυάγιον δὲ τὸ ἐξ αὐτῆς ἐκβρασθέν.

Νεαρὸν νεαλοῦς, καὶ προσφάτου διαφέρει. νεαρὸν μὲν γάρ ἐστι τὸ νεωστὶ κομισθὲν ὕδωρ. ἔγκειται γὰρ τῇ λέξει τὸ ἀρύειν. πρόσφατον δὲ τὸ κρέας. ἔγκειται γὰρ ἀπὸ τοῦ φάσαι, ὅ ἐστι τὸ φονεῦσαι. ὅθεν καὶ τὸ φάσγανον. νεαλὲς δὲ τὸ νεωστὶ ἑαλωκός, οἷον ἰχθῦς. δύναται δὲ νεωστὶ ἁλὶ πεπασμένον.

Νηρεΐδες τῶν τοῦ νήρεως θυγατέρων διαφέρει. Δίδυμος ὁμοίως ἐν ὑπομνήματι Βακχυλίδου ἐπινίκων. φησὶ γὰρ κατὰ λέξιν. εἰσὶ τοίνυν οἵ φασι διαφέρειν τὰς νηρεΐδας τῶν τοῦ νήρεως θυγατέρων. καὶ τὰς μὲν ἐκ δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι. τὰς δὲ ἐξ ἄλλων ἤδη κοινότερον, νηρεΐδας καλεῖσθαι, καὶ τὰς μὴ γνησίας, καὶ τὸν ἀριθμὸν, πλείους δὲ τὰς ἄλλας. ταῦτα φησὶ Μνασέαν ἐν τοῖς περὶ τῆς εὐρώπης τὸν τρόπον τοῦτον. εἶτα ἐκτίθεται διὰ μακρῶν τὴν λέξιν. καὶ ἐπιφέρει πιθανῶς τοὺς μὲν ἐκ μιᾶς τῆς δωρίδος γνησιωτέρας τῶν ἄλλων οὔσας, νήρεως θυγατέρας λέγεσθαι. τὰς δὲ συμμίκτους αὐτῷ μόνον νηρεΐδας.

Νῆες, πλοίων διαφέρει. Δίδυμος ἐν δεκάτῳ ῥητορικῶν ὑπομνημάτων φησὶν οὕτως, ὅτι διαφέρουσιν αἱ νῆες τῶν πλοίων. τὰ μὲν γάρ ἐστι στρογγύλα. αἱ δὲ κωπήρεις, καὶ στρατιώτιδες. Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν δικαιώμασι τῶν πολέμων οὕτως. Ἀλέξανδρος ὁ μολοττὸς ὑπὸ ταυτὸν χρόνον ταραντίνων αὐτὸν μεταπεμψαμένων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν πεντεκαίδεκα, πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς, καὶ στρατηγικοῖς.

Νοῦς μέν ἐστιν ἀπόκρυφος λογισμός. φρένες δὲ αἱ ἀγαθαὶ διάνοιαι.

Νῦν, καὶ νυνὶ διαφέρει φησὶ κατά τινος Ἡρακλείδης ἐν πρώτῃ περὶ καθολικῆς προσῳδίας. τὸ μὲν γὰρ νῦν χρονικὸν ἐπίρρημα, τάσσεται ἐπὶ τῶν τριῶν χρόνων, ἐνεστῶτος, παρῳχημένου, καὶ μέλλοντος. οἷον ὅτι ἀπὼν νῦν ἐστι, νῦν ἔσται. τὸ δὲ νυνὶ ἐπὶ μόνου ἐνεστῶτος.

Νωθέστερος μὲν ὁ βλακώδης. νωχελέστερος δὲ ὁ ἀσθενέστερος.

Ξόανον, βρέτας, ἄγαλμα διαφέρει. ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσμένον λίθινον, ἢ ἐλεφάντινον. βρέτας δὲ τῷ βροτῷ ὅμοιον, ἤτοι χαλκοῦν, ἢ ἐκ τῆς ἐμφεροῦς ὕλης πεποιημένον. ἄγαλμα δὲ τὸ πώρινον, ἢ ἔκ τινος ἑτέρου λίθου κατεσκευασμένον.

ξενίζειν μὲν οὐ μόνον τὸ καταδέχεσθαι ξένον, ἀλλὰ καὶ τὸ ξένως διαλέγεσθαι. ὡς Δημοσθένης ἐν τῷ πρὸς Βοιωτούς.

ξυστός, τό, τε ἀκόντιον ὡς παρ' Ἡσιόδῳ ἐν τῷ πρώτῳ, καὶ τὸ οἰκοδόμημα, ὡς παρὰ Ξενοφῶντι ἐν οἰκονομικῷ.

Ὀβελὸς ὀβολοῦ διαφέρει. ὀβελὸς μὲν γάρ ἐστιν εἰς ὃν διαπειρῶντες τὰ κρέα μέλλοντα ὀπτᾶσθαι. ὀβολὸς δὲ μέρος δραχμῆς.

ὅδε, καὶ ὁδὶ διαφέρει. ὅδε μὲν γὰρ ἀναφορικῶς, καὶ δεικτικῶς. ὁδὶ δὲ δεικτικῶς μόνον κατ' ἐπέκτασιν.

οἰκῆας, καὶ οἰκείους διαφέρειν φασίν. οἰκεῖοι μὲν γὰρ καὶ οἱ κατ' ἐπιγαμίαν προσήκοντες. οἰκῆες δ' ἅπαντες καὶ οἱ ἐν τῇ οἰκίᾳ τυγχάνοντες τῇ αὐτῇ, εἴτε οἰκέται, εἴτε ἐλεύθεροι. φησὶ γοῦν Ἕκτωρ ὄφρ' ἴδωμαι οἰκῆας, ἄλοχόν τε φίλην, καὶ νήπιον υἱόν, καὶ ἐξ ὕπνου γόωσα φίλους οἰκῆας ἐγείρει. καὶ ἐν Ὀδυσσείᾳ. κήδετο οἰκήων οὓς κτήσατο δῖος Ὀδυσσεύς.

οἰκίζεται, καὶ συνοικίζεται διαφέρει. οἰκίζεται μὲν γὰρ πόλις ἀπὸ τῆς πρώτης τῶν συνοικητόρων ἀθροίσεως καὶ καθιδρύσεως. συνοικίζεται δὲ ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν πόλιν συναγομένη ὑπὲρ τοῦ πλείονα δύναμιν σχεῖν. διοικίζεται δὲ ἡ ἐκ μιᾶς πόλεως μεγέθει ἰσχυούσης εἰς πολλὰ καταδιαιρουμένη ἀπὸ τῶν ἐχθρῶν ἵνα ἀσθενὴς γένηται. ὡς οἱ Λακεδαιμόνιοι τὴν ἐν Ἀρκαδίᾳ μεγάλην πόλιν διῴκησαν.

οἰκότριψ καὶ οἰκέτης διαφέρει. οἰκότριψ μὲν γὰρ ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. οἰκέτης δὲ ὁ μὲν γὰρ δοῦλος ὁ ὠνητός. παρὰ δὲ Σόλωνι ἐν τοῖς ἄξοσιν οἰκεὺς κέκληται ὁ οἰκότριψ.

οἶμος, οἴμης διαφέρει. οἶμος μὲν γάρ ἐστιν ἀρσενικῶς ἡ ὁδός. οἴμη δὲ ἡ ᾠδή.

οἶκτος, καὶ οἰκτισμὸς διαφέρει. οἶκτος μὲν γάρ ἐστιν οἰκτιζομένου ἔλεος. οἰκτισμὸς δὲ ὁ λόγος τοῦ οἰκτείροντος.

οἴνη, καὶ οἰνάνθη διαφέρει. οἴνη μὲν γὰρ ἡ ἄμπελος. οἰνάνθη δὲ ἡ πρώτη τῶν βοτρύων ἐξάνθησις. οἰνάρια δὲ τὰ φύλλα.

οἴκαδε, τοῦ εἰς οἶκον διαφέρει. οἴκαδε μὲν γὰρ τὸ εἰς τὴν ἰδίαν οἰκίαν βαδίζειν. εἰς οἶκον δὲ καὶ ἐφ' ἕτερον.

οἶκος, οἰκία, συνοικία, οἰκίσκος, καὶ δῶμα διαφέρουσιν. οἶκος μὲν λέγεται ἡ πᾶσα οὐσία. οἰκία δὲ ἡ ἀπὸ ἑνός, ἢ ἀπὸ δευτέρου κατοικουμένη. συνοικία δὲ ἡ πολλοῖς, καὶ μισθουμένη. οἴκημα δὲ τὸ τέγος, ἢ τὸ δεσμωτήριον. οἰκίσκος τὸ μικρὸν δωμάτιον. δῶμα δὲ ὁ λεγόμενος κοιτών.

ὄλβιος, καὶ εὐτυχὴς διαφέρει. ὄλβιος μὲν γάρ ἐστιν ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων. εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως, καὶ ἀλύπως.

ὀλίγον, καὶ μικρὸν διαφέρει. τὸ μὲν γὰρ ὀλίγον ἐπ' ἀριθμοῦ. τὸ δὲ μικρὸν ἐπὶ μεγέθους τάσσεται. Ἀριστόνικος ἐν ὑπομνήματι ἐκκλεσ' ἐπὶ στοιχείου, ὀλίγην νησῖδα Καλυψοῦς. φασὶ δὲ οὕτω, ὀλίγην μικρὰν ὑπαλλακτικῶς. τὸ μὲν γοῦν ὀλίγον ἐπ' ἀριθμοῦ, τὸ δὲ μικρὸν ἐπὶ μεγέθους τάσσεται. καὶ Ὅμηρος. δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν, τὴν μικράν.

ὅλμος, καὶ ὅρμος διαφέρει. ὅλμος μὲν γάρ ἐστι μυρεψικὸν σκεῦος, εἰς ὃ κόπτονται τὰ εἴδη τὰ μυρεψικά. ὅρμος δέ ἐστι λιμήν.

ὄρθρος, καὶ πρωῒ διαφέρει. ὄρθρος μὲν γὰρ ἡ πρὸ ἀνατολῆς ἡλίου ὥρα καθ' ἣν ἀναστάντες ἐξ ὕπνου ὀρθοὶ γινόμεθα. πρωῒ δὲ πρὸ τοῦ καθήκοντος καιροῦ. Ὅμηρος, πρωῒ δὲ ὑπὸ ἠοῖ σὺν τεύχεσι. καὶ Ἡσίοδος, τελευτῆσαι τινὰ πρωῒ μάλ' ἠΐθεον, τουτέστι πρόωρον.

ὁρᾶν, καὶ ὑπερορᾶν διαφέρει. ὁρᾶν μὲν γάρ ἐστι τὸ θεωρεῖν. ὑπερορᾶν δὲ τὸ καταφρονεῖν.

ὀρνιθευτής, καὶ ὀρνιθοσκόπος διαφέρει. ὀρνιθευτὴς μὲν γάρ ἐστιν ὁ θηρεύων ὄρνιθας. ὀρνιθοσκόπος δὲ ὁ οἰωνοσκόπος.

ὀροφή, καὶ τέγος διαφέρει. ὀροφὴ μὲν γάρ ἐστιν ἡ στέγη. τέγος δὲ τὸ δῶμα.

ὅσιον, καὶ ἱερὸν διαφέρει. ὅσια μὲν γάρ ἐστι τὰ ἰδιωτικὰ ὧν ἐφίεται, καὶ ἔξεστι προσάψασθαι. ἱερὰ δὲ τὰ τῶν θεῶν, ὧν οὐκ ἔξεστι προσάψασθαι. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους λέγει, ὥστε τίθησι τοῦτον νόμον, δι' οὗ τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεούς. τῶν ὁσίων δὲ τὴν πόλιν ἀποστερεῖ.

ὅτι, καὶ διότι διαφέρει. τὸ μὲν γὰρ ὅτι αἰτίαν δηλοῖ, ὅτε δὲ βεβαίωσιν, τὸ δὲ διότι αἰτίαν δηλοῖ. αὐτίκα γοῦν ὅτι μὲν ἐκλείπει ἡ σελήνη πάντες ἴσμεν, διότι δὲ οὐκέτι, ἀλλὰ μόνοι οἱ ἔμπειροι.

οὔκουν παροξυτόνως μὲν ἀποφαντικὸν ἴσον τῷ οὐχοῦν. οἷον οὔκουν ἀπιστεῖν. περισπωμένως δὲ συλλογιστικός ἐστιν σύνδεσμος καὶ σημαίνει ἀπόφασιν.

οὐδέν, διὰ τοῦ δ, καὶ οὐθὲν διὰ τοῦ θ διαφέρει. οὐδὲν μὲν γὰρ τὸ ἐν τῷ καθόλου, ὡς φαμὲν οὐδὲν ἐν κόσμῳ κενόν. πᾶσα γὰρ ἡ τοῦ κενοῦ φύσις βαστάζεται. οὐθὲν δὲ ἀναλυθὲν εἰς τὸ ἴδιον ἀντίστοιχον, σημαίνει τὴν τοῦ ἑνὸς ἄρσιν, καὶ ἐπιφορὰν ἑτέρας ἀρχῆς, οὔθ' ἓν οὔτε δύο. τὸ δὲ διὰ τοῦ δ, ἀπαρτίζει. διὸ καὶ ὁ ποιητής φησιν. οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποις. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει. διὸ καὶ Ζηνόδοτον εὐθύνουσι γράφοντα, οὐθὲν ἀκιδνότερον.

οὕνεκα, καὶ εἵνεκα διαφέρει. οὕνεκα μὲν σημαίνει τὸ ὅτι. εἵνεκα δὲ χάριν. Ὅμηρος διαστέλλει, οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα. ἀντὶ τοῦ ὅτι. εἵνεκα ῥιγεδανῆς Ἑλένης. ἥμαρτεν οὖν ὁ Καλλίμαχος εἰπών, εἵνεκεν οὐχ ἓν ἄλεισμα ὅπερ ἄτοπον. ἔδει γὰρ εἰπεῖν οὕνεκα, ἵνα γένηται, ὅτι οὐχ ἓν ἄλεισμα.

Οὗτος, καὶ οὑτοσὶ διαφέρει. τὸ μὲν γὰρ οὑτοσὶ δεικτικὸν μόνον, τὸ δὲ οὗτος δεικτικὸν, καὶ ἀναφορικόν. δεικτικὸν μὲν, οὗτός τοι Διομήδης. ἀναφορικὸν δὲ, οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦτον, καὶ τουτονί.

Οὐλὴ, καὶ ὠτειλὴ διαφέρει. οὐλὴ μὲν ἐστὶν ἡ ὑγιασμένη σὰρξ ἐκ παλαιοῦ τραύματος. ὠτειλὴ δὲ τὸ πρόσφατον τραῦμα παρὰ τὸ οὐτάσθαι. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν. ἐπὶ μὲν τῆς οὐλῆς εἰπὼν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι. ἐπὶ δὲ τῆς ὠτειλῆς, αὐτίκα δ' ἔρρεεν αἷμα κατ' οὐταμένην ὠτειλήν.

Οὖρος, καὶ οὐρὸς διαφέρει. οὖρος μὲν ὁ ἄνεμος. οὐρὸς δὲ ὁ τόπος ἢ τὸ νεώριον. οὐροὺς τ' ἐξεκάθαιρον.

Ὀφλεῖν, καὶ ὀφείλειν διαφέρει. Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν ὑπομνήματι τῷ περὶ παραπρεσβείας Δημοσθένους. ὦφλε μὲν γάρ τίς φησιν ἐπὶ καταδίκῃ. ὀφείλει δέ τις ὡς ἡμεῖς ἐκδεχόμεθα.

Ὄφλημα, καὶ χρέος διαφέρει. ὄφλημα μὲν γὰρ καὶ ὀφείλημα τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον, χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον.

Ὄχθαι, καὶ ὄχθοι διαφέρουσιν. ὄχθαι μὲν γάρ εἰσι ποταμῶν χείλη. ὄχθοι δὲ ἐπάρματα γῆς.

Ὀψὲ, καὶ ἑσπέρα διαφέρει. ἑσπέρα μὲν γάρ ἐστιν ἡ μετὰ τὴν δύσιν τοῦ ἡλίου ὥρα. ὀψὲ δὲ ἡ μετὰ πολὺ τῆς δύσεως. καὶ καθόλου μετὰ πολὺν χρόνον. ὡς Ὅμηρος, ὀψὲ δὲ δὴ μετέειπε. καὶ ὀψαρότης πρὸ ἀρότης ἰσοφαρίζει. ὀψαρότης γὰρ ὁ μετὰ πολὺ τοῦ προσήκοντος χρόνου ἀροτριῶν.

Παρέχειν, καὶ παρέχεσθαι διαφέρει. παρέχειν μὲν γὰρ λέγεται τὰ διὰ χειρὸς διδόμενα, οἷον ἐσθήματα, ἢ ἐκπώματα. τὸ δὲ παρέχεσθαι λέγεται ἐπὶ τῶν τῆς ψυχῆς διαθέσεων, οἷον ἐπιθυμίαν, εὔνοιαν. Θουκυδίδης, καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. Δημοσθένης ἐν Φιλιππικοῖς. τὴν αὐτὴν παρεχόμεθα προθυμίαν.

Παρειαὶ, καὶ παρεῖαι διαφέρουσι. παρειαὶ μὲν γὰρ ὀξυτόνως αἱ τοῦ ἀνθρώπου. παρεῖαι δὲ προπερισπωμένως, ὄφεις τινὲς μετέωρα τὰ παρεῖα ἔχοντες, ὡς παρείας ὄφις.

Πάσασθαι, βραχέος μὲν ὄντος τοῦ α, τὸ γεύσασθαι δηλοῖ. ἐν ἐκτάσει δὲ τούτου, τὸ κτήσασθαι.

Παραβολὴ, καὶ παράδειγμα διαφέρει. παραβολὴ μὲν γάρ ἐστιν, ἡ οἷά τε γενέσθαι ἐπὶ παραδείγματος, οἷον ὡς δ' ὅτε τίς τε δράκοντα ἰδών. παράδειγμα, γεγονότος πράγματος ἀντιπαράθεσις, οἶνος καὶ κένταυρον ἀπώλεσεν.

Πάλτον, καὶ πέλτη διαφέρει. πάλτον μὲν γάρ ἐστι τὸ δόρυ. πέλτη δὲ ἀσπὶς ἴτυν οὐκ ἔχουσα.

Παρακέκρουσαι, καὶ παρακέκρουται διαφέρει. τὸ μὲν γὰρ σὺν τῷ σ, ἐνεργητικόν ἐστι καὶ σημαίνει ἐξηπάτηκε. τὸ δὲ χωρὶς τοῦ σ, παθητικὸν, καὶ σημαίνει τὸ ἐξηπάτηται.

Παῖς, καὶ ἀντίπαις διαφέρει. παῖς μὲν γάρ ἐστιν ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ. ἀντίπαις δὲ ὁ ἐκβεβηκὼς τοῦ παιδὸς τὴν ἡλικίαν, καὶ ἤδη πρόσηβος. εὔπαις δὲ ὁ μέγας παῖς.

Παιδίσκη, καὶ θεράπαινα διαφέρει. παιδίσκη μὲν γάρ ἐστι πᾶσα ἡ τὴν παιδικὴν ἔχουσα ἡλικίαν, ὡς καὶ παιδίσκος. θεράπαινα δὲ ἡ δούλη.

Παίδευσις, καὶ παιδεία διαφέρει. ὥς φησι Πλάτων ἐν ὅροις. παιδεία μὲν γάρ ἐστι δύναμις θεραπευτικὴ ψυχῆς. παίδευσις δὲ παιδείας καὶ ἀρετῆς παράδοσις, καὶ ἐκ παιδὸς ἀρετὴ ἐπ' ἀρετὴν ὁδηγοῦσα.

Παιδίσκη, καὶ παῖς διαφέρει. παιδίσκη μὲν γὰρ ἡ ἐλευθέρα παρ' Ἀττικοῖς. παῖς δὲ ἡ δούλη. Μένανδρος ἐν δακτυλίῳ, ἐπὶ τοῦ δ' ἄντις οὑτοσὶ κακοδαίμων ἔφη. ὃς οὐκ ἂν ἐκδοίη θυγατέρας μόνος, καὶ ταῦτα πεντήκοντα παιδίσκας ἔχων.

Παρθενία, καὶ σωφροσύνη διαφέρει, καὶ παρθένος σώφρονος. καθὸ ἡ μὲν παρθένος σώφρων ἐστὶ πάντως. ἡ δὲ σώφρων οὐ πάντως παρθένος.

Πάσχειν, καὶ συμπάσχειν διαφέρει. ὡς πάσχων συμπάσχοντος. ὁ μὲν γὰρ πάσχων λυπεῖται μὲν ἐπὶ τῷ τοῦ συμπάσχοντος πάθει, οὐ μέντοι συμπάσχων ἀλγεῖ, καθάπερ ὁ πάσχων. οἷον πυρέττει τις τῶν φίλων σφόδρα, καὶ συμπάσχομεν τούτῳ πυρέττοντι, οὐ μέντοι καὶ πυρέττομεν.

Πάτρια πατρῴων, καὶ πατρικῶν διαφέρει. πατρῷα μὲν γὰρ τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα. πατρικοὶ δὲ ἢ φίλοι, ἢ ξένοι. πάτρια δὲ τὰ τῆς πόλεως ἔθη.

Παιδίσκη, καὶ παιδισκάριον διαφέρει. παιδίσκην μὲν γὰρ λέγομεν τὴν ἐλευθέραν, παιδισκάριον δὲ τὴν δούλην.

Παῖδα οὐ μόνον τὸν υἱὸν, ἀλλὰ καὶ τὸν δοῦλον, ὡς Δημοσθένης ἐν τῷ πρὸς Πανταίνετον.

Πελάστης, καὶ πενέστης διαφέρει. πελάστης μὲν γὰρ ὁ πρόσφυξ. πενέστης δὲ παρὰ Θετταλοῖς ὁ κατὰ πόλεμον δορηθεὶς, ὡς παρὰ Λάκωσιν οἱ εἵλωτες.

Πένης, καὶ πτωχὸς διαφέρει. πένης μὲν γὰρ ὁ ἀπὸ τοῦ ἐργάζεσθαι, καὶ πονεῖν πορίζόμενος τὸν βίον. πτωχὸς δὲ ὁ ἐπαίτης, ὁ τοῦ ἔχειν ἐκπεπτωκώς. ἢ ἀπὸ τοῦ πτώσσειν. πτωχὸν δ' ἀνιηρὸν δαιτῶν ἀπολυμαντῆρα, καὶ ἐτυμολογῶν φησίν. ἀλλὰ πτώσσειν βούλεται αἰτίζων κατὰ δῆμον, βόσκειν ἣν γαστέρ' ἄναλτον.

Περιμάξαι, καὶ ἐκμάξαι, τὸ τοὺς οἰομένους πεφαρμάχθαι δι' ἐπῳδῶν, καὶ καθαρμῶν προσθεῖσθαι ἀπολύειν.

Πειραστὴς, καὶ πειρατὴς διαφέρει. πειραστὴς μὲν γὰρ ὁ πειράζων. πειρατὴς δὲ ὁ θαλάσσιος λῃστὴς, καὶ Νεῖλος, τὰς διαλυθείσας σανίδας καταλιπόντες τοῖς πειραταῖς.

Πεῖρα, καὶ πήρα διαφέρει. πεῖρα μὲν γάρ ἐστιν ἡ ἐπιστήμη τε, καὶ ἐμπειρία. πήρα δὲ τὸ ἰατρικὸν ἐγχειρίδιον. καὶ δέρμα τι ἀρτοφόρον. ὃ ἐπὶ τῶν ὤμων φέρουσιν οἱ ποιμένες.

Πηδάλιον, καὶ πλήθριον διαφέρει. πηδάλιον μὲν γὰρ νεὼς. πλήθριον δὲ σχεδίας.

Πῆ, καὶ ποῖ, καὶ ποῦ διαφέρει. τὸ μὲν γὰρ πῆ εἰς τόπον. οἷον πῆ ἔβη Ἀνδρομάχη; τὸ δὲ ποῦ ἐν τόπῳ, οἷον ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα. ὥσθ'

ἁμαρτάνουσιν

ἁμαρτάνουσιν οἱ λέγοντες ποῦ ἀπέρχῃ; δέον εἰπεῖν, ποῖ ἀπέρχῃ;

Πλεῖν, τοῦ ἀποπλεῖν, καὶ παραπλεῖν, καὶ περιπλεῖν διαφέρει. πλεῖν μὲν γάρ ἐστι τὸ κατ᾽ εὐθὺ πλέειν. ἀποπλεῖν δὲ τὸ ἐκ τόπου τινὸς ἀπαίρειν. παραπλεῖν δὲ τὸ τόπον τινὰ διὰ πλοίου διέρχεσθαι. περιπλεῖν δὲ τὸ περὶ σκάφος ἀναστρέφεσθαι περὶ τὸν αὐτὸν τόπον.

Πλούσιος, εὐπόρου, ἀφνειοῦ, ὀλβίου, καὶ εὐτυχοῦς διαφέρει. πλούσιος μὲν γὰρ ὁ πολύκτητος, ὁ πολλὴν ἔχων οὐσίαν. εὔπορος δὲ ὁ πρὸς τὰς ἐπελθούσας τύχας ἀνενδεής. ἀφνειὸς δὲ ὁ ἀπ᾽ ἐνιαυτοῦ τὴν ζωὴν συλλέγων. ἔνος γὰρ ὁ ἐνιαυτός. ὄλβιος δὲ ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων, οἷον ὁλόβιος. εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως, καὶ ἀλύπως.

Πλῆμαι, καὶ πλήμυραι διαφέρουσι. πλῆμαι μὲν γὰρ αἱ πλημμυρίδες τῶν ποταμῶν. πλῆναι δὲ αἱ τῶν τροφῶν σύριγγες.

Πλῆθος, καὶ ὄχλος διαφέρει. πλῆθος μὲν γάρ ἐστι σύστημά τινων. ὄχλος δὲ κυρίως ἡ ὄχλησις.

Πλούσιοι εὐπόρων διαφέρουσιν. οἱ μὲν γὰρ πλούσιοι οὐ πάντως εὐποροῦνται, ἀλλὰ ἔκ τινων περιστάσεως, καὶ ἀποροῦνται ποτὲ χρημάτων, ἢ ἄλλου τινός. οἱ δὲ εὔποροι κἂν μὴ πλουτῶσιν, ὧν δέονται ἔχουσιν. τινὲς δὲ εὐπορίαν μὲν τὸν μέτριον πλοῦτον ἡγοῦνται. πλοῦτον δὲ τὴν μεγάλην εὐπορίαν.

Πολεμικὸς, καὶ αἰχμητὴς διαφέρει. πολεμικὸς μὲν γάρ ἐστιν ὁ ἐμπείρως πολεμῶν. αἰχμητὴς δὲ ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

Πόμα, καὶ πῶμα διχῶς λέγουσι. τὸ μὲν ἁπλοῦν, διὰ τοῦ ο μικροῦ. ἐν δὲ συνθέτοις μόνον διὰ τοῦ ω μεγάλου, οἷον γαλακτοπωτεῖν καὶ ὑδροποτεῖν.

Πομπὴ, καὶ πομπεία διαφέρει. πομπὴ μὲν γὰρ ἣν τοῖς θεοῖς πέμπουσι. πομπεία δὲ ἡ λοιδορία. Δημοσθένης, τῆς δὲ πομπείας ταύτης ὕστερον.

Παῤῥησία, καὶ παρουσία διαφέρει. παῤῥησία μὲν γὰρ ἡ διὰ λόγων πρός τινα οἰκείωσις. παρουσία δὲ ἡ ἐπέλευσις.

Πολίτης, καὶ πατριώτης διαφέρει. πολίτης μὲν γὰρ ὁ ἐκ τῆς αὐτῆς πόλεως, ἐλεύθερος ἐλευθέρῳ. πατριώτης δὲ ὁ ἐκ τῆς αὐτῆς χώρας δοῦλος δούλῳ, ἡ δὲ πατρὶς, καὶ ἐπὶ τῆς χώρας τέτακται. ὡς τὸ τοῖσι δ᾽ ἄφαρ πόλεμος γλυκίων γένετ᾽ ἠὲ νέεσθαι φίλην ἐς πατρίδα γαῖαν. οὐ γὰρ πάντες ἐκ μιᾶς ἦσαν πατρίδος. ἀλλ᾽ ἐκ μιᾶς χώρας.

Πόλις, καὶ ἄστυ διαφέρει. πόλις μὲν γὰρ καὶ ὁ τόπος, καὶ οἱ κατοικοῦντες ἤγουν τὸ συναμφότερον. ἄστυ δὲ μόνον ὁ τόπος. φράζεο νῦν ὅπως καὶ πόλιν, καὶ ἄστυ σαώσῃς.

Ποιεῖν τοῦ περιποιεῖν διαφέρει. ποιεῖν μὲν γάρ ἐστι τὸ κατασκευάζειν τι. περιποιεῖν δὲ τὸ περικτᾶσθαι, ἢ κοσμεῖν.

Πόνηρον βαρυτονούμενον ὡς σόλοικον, καὶ πονηρὸν ὀξυτονούμενον ὡς κυδιμὸν, φασὶ διαφέρειν παρὰ τοῖς Ἀττικοῖς. ὁμοίως μόχθηρον, καὶ μοχθηρόν, πονηρὸς μὲν γάρ ἐστιν ὀξυτόνως ὁ κακοήθης. πόνηρος δὲ ὁ ἐπίπονος. ἀτόπως φησὶ Τρύφων καὶ τὰ φαῦλα μόχθηρα λέγομεν. κατὰ δ᾽ ὀξύτητά φησι μὲν ἐπ᾽ ἐμψύχων. μοχθηρᾶς γέ τοι τέχνης δημιούργημα φαμὲν εἶναι. εἰ δὴ τὰ τοῦ τύπου κεκοινώνηκεν, ἄμφω ὀφείλει καὶ τῶν αὐτῶν τόνων μετέχειν. ὅτι ὀξυτονεῖν ἀπαιτεῖ ὁ λόγος βίᾳ ἀνάγκης. πᾶν γὰρ παρώνυμον εἰς ρον λῆγον παρασχηματιζόμενον τοῖς γένεσιν ὀξυτονεῖται, οἷον κάματος, καματηρός. ὄλισθος, ὀλισθηρός. μέλι, μελιτηρός. τόλμα, τολμηρός, νόσος, νοσηρός. εἰ δὴ πόνος, καὶ μόχθος τὰ πρωτότυπα πονηρὸς, καὶ μοχθηρὸς ῥητέον ὀξυτόνως. εἰ δ᾽ οἱ Ἀττικοὶ βαρυτονοῦσιν, οὐ θαυμαστόν ἐστι. χαίρουσι γὰρ τῇ βαρύτητι. ἄδελφε γοῦν λέγουσι τὴν πρώτην ὀξυτονοῦντες, ὡς ἄπελθε φησὶν ὁ Τρύφων παρατιθέμενος Φιλήμονα τὸν ἀγξωνέα ὡς θέτταλον, ὡς μυρτάλην. καὶ χάριεν τὴν πρώτην συλλαβὴν ὀξυτονοῦντες. ὥστε οὐκ εἰς διαστολήν φησι τοῦ σημαινομένου εὗρον τὴν βαρύτητα ἀλλ᾽ ὡς ἔθος ἐκπληροῦντες οὕτω προσενήνεκται.

Ποῖ, καὶ ποῦ παρὰ τοῖς διαιροῦσι τὴν εἰς τόπον σημασίαν δηλοῖ. ποῖ μὲν τὴν ἐπὶ τόπῳ. ποῦ δὲ τὴν ἐκ τόπου.

Πονεῖν, καὶ ἀλγεῖν διαφέρει. πονεῖν μὲν γάρ ἐστι τὸ ἐνεργεῖν. ἀλγεῖν δὲ τὸ ὀδυνᾶσθαι.

Πότος βαρυτόνως, καὶ ποτὸς ὀξυτόνως διαφέρει. πότος μὲν γάρ ἐστι βαρυτόνως τὸ συμπόσιον. ὡς Μένανδρος, πότοι συνεχεῖς κύβοι. ὀξυτόνως δὲ αὐτὸ τὸ ἔκπομα. ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος, βρωτοῦ, καὶ ποτοῦ μεταλαβεῖν.

Πολύτιμος, καὶ πολυτίμητος διαφέρει. πολύτιμος μὲν γάρ ἐστιν ὁ πολλῆς τιμῆς ἠγορασμένος ἄνθρωπος. πολυτίμητος δὲ ὁ πολλῆς τιμῆς ἄξιος. ὡς τοὺς θεοὺς πολυτιμήτους λέγομεν.

Πρεσβεύεσθαι, καὶ πρεσβεύειν διαφέρει. πρεσβεύεσθαι γὰρ τὸ πέμπειν πρέσβεις. πρεσβεύειν δὲ τὸ πέμπειν πρεσβευτὴν οἱ Ἀττικοὶ λέγουσι.

Πρόξενος, καὶ ἰδιόξενος, καὶ δορύξενος διαφέρει. πρόξενος πόλεως, καὶ ἔθνους ὡς παρὰ Θουκυδίδῃ. ξένος δ᾽ ὁ εἷς ἑνὸς, ὁ δ᾽ αὐτὸς καὶ ἰδιόξενος. οὐκ ὀρθῶς οὖν Εὐριπίδης ἐν Τηλέφῳ πρόξενον εἴρηκε τὸν ἰδιόξενον. κακός τις ἐστι προξένῳ σοι χρώμενος. δορύξενος δὲ ὁ κατὰ πόλεμον γενόμενος φίλος. ἁλοὺς γὰρ καὶ ξενίων τυχὼν, ἀφείθη πρὸς τοῦ πολεμίου λύτρα λαβόντος, μνᾶς δὴν ἢ τεταγμένην. κομίσας δὲ, καὶ φυλάξας τὴν πίστιν ἐγένετο φίλος, καὶ δορύξενος ἐκαλεῖτο.

Προτέρα, καὶ προτεραία διαφέρει. προτέρα μὲν ἡ ἐπὶ τάξεως. προτεραία δὲ ἐπὶ μόνης ἡμέρας.

Πρῶτος, καὶ πρότερος διαφέρει. πρῶτος μὲν γὰρ ἐπὶ πολλῶν. πρότερος δὲ ἐπὶ δύο. καὶ τῷ μὲν πρώτῳ ἀκόλουθός ἐστιν ὁ ὕστατος. τῷ δὲ προτέρῳ, ὕστερος. καὶ πρότερος μὲν ἐπὶ τάξεως, πρῶτος δὲ ἐπὶ ποιότητος. ὡς ὅταν ἐπὶ ἀγάλματος λέγωμεν, πρώτως ἔχειν τῇ τέχνῃ οἷον ἐξόχως. Πλάτων γοῦν διαιρούμενος τὰς πολιτείας τὴν

μὲν πρώτως ἔχειν φησί. τὴν δὲ ὑστέρως, δηλονότι. ἡ μὲν πρωτεύει, ἡ δὲ ἕπεται. εἰ δέ τις εἴποι πρότερον ἦλθον εἰς ἀθήνας, ἁμαρτάνει. πρῶτον γὰρ χρή.

Πρυτανεῖα, τὰ καταβαλλόμενα ὑπὸ τῶν δικαζόντων τὴν δίκην. ἢ δὲ τὰ ἐπιδέκατα τοῦ τιμήματος τῆς δίκης. πρυτανεία δὲ θηλυκῶς ὁ χρόνος. διῄρητο γὰρ παρὰ ἀθηναίοις ὁ ἐνιαυτὸς εἰς δέκα πρυτανείας. ὅσαι καὶ αἱ φυλαὶ ἦσαν, καὶ ἐπρυτάνευον ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ. ὅθεν καὶ τοὺς μισθοὺς, καὶ τὰ ἐνοίκια κατὰ τὰς πρυτανείας κατὰ μῆνα ἐτέλουν.

Πρὸ μοίρας, καὶ πρὸ ὥρας διαφέρει. πρὸ μοίρας μὲν γὰρ ὁ βιαίως ἀποθανών. πρὸ ὥρας δὲ ὁ ἐν νεότητι.

Πρεσβεύονται, καὶ πρεσβεύουσι διαφέρει. πρεσβεύονται μὲν γὰρ οἱ τοὺς πρέσβεις χειροτονοῦντες πέμποντες. πρεσβεύουσι δὲ οἱ χειροτονούμενοι ἐπὶ τὴν πρεσβείαν.

Πρέσβεις οἱ πρεσβευταί. πρέσβης δὲ οὐδέποτε λέγεται. τὸ γὰρ ἑνικὸν πρεσβευτὴς ἀνέγνωσται.

Πρότερος, καὶ πρῶτος διαφέρει. πρότερος μὲν ἐπὶ δυοῖν τάσσεται. ὡς ὅμηρος ἐπὶ τληπολέμου καὶ Σαρπηδόνος. τοῦ καὶ τληπόλεμος πρότερος. τὸ δὲ πρῶτος ἐπὶ πολλῶν ὦρτο πολὺ πρῶτος ἄναξ ἀνδρῶν ἀγαμέμνων.

Πρωτότοκος μὲν προπαροξυτόνως, ὁ πρότερον τεχθείς. πρωτοτόκος δὲ παροξυτόνως ἡ πρῶτον τεκοῦσα.

Προσπταίειν μὲν λέγεται τοῖς κάτω μέρεσιν, ἢ ποσὶν, ἢ κνήμῃ. προσκρούειν δὲ τοῖς ἄνω, καὶ κεφαλῇ.

Πείθεσθαι μὲν τὸ ἑκουσίως συγκατατίθεσθαι. πειθαρχεῖν δὲ τὸ κελεύοντι πεισθῆναι.

Πυθὼν θηλυκῶς καὶ ὀξυτόνως, ὁ τόπος. βαρυτόνως δὲ καὶ ἀρσενικῶς, ὁ δράκων.

Πῦς, καὶ ποῖ, καὶ πεῖ, καὶ πῶ διαφέρει παρὰ τοῖς δωριεῦσι. τὸ μὲν γὰρ πῦς, καὶ ποῖ τὴν εἰς τόπον σημασίαν δηλοῖ. τὸ δὲ πεῖ τὴν ἐν τόπῳ. τὸ δὲ πῶ τὴν ἐκ τόπου, ὅθεν οἱ δωρίζοντες καὶ λέγοντες πεῖ πορεύῃ; ἁμαρτάνουσι. δέον γὰρ, πῦς πορεύῃ; τὸ γὰρ πεῖ τὴν ἐν τόπῳ σχέσιν δηλοῖ. Σώφρων, πεῖ γὰρ ἄσφαλτος, ποῖος ἐλισκοπεῖται, ἀντὶ τοῦ ποῦ. ὅταν δὲ εἰς τόπον θέλῃ εἰπεῖν, φησί. πῦς ἐς μυχὸν καταδύῃ, ἀντὶ τοῦ εἴς τινα μυχόν.

Ῥάφανον, καὶ ῥαφανὶς διαφέρει. ῥάφανον μὲν γὰρ ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῖν κράμβην. ῥαφανίδα δὲ τὴν παρ' ἡμῖν ῥάφανον.

Ῥέφανον, καὶ ῥάφανον διαφέρει. παρ' ἴωσι καὶ ἀττικοῖς. ῥέφανον μὲν ἣν καὶ ἡμεῖς φαμὲν, ῥάφανον δὲ τὴν κράμβην.

Ῥέθρον ῥεύματος διαφέρει. ῥέθρον μὲν γάρ ἐστιν ὁ τόπος δι' οὗ φέρεται τὸ ῥεῦμα, ῥεῦμα δὲ αὐτὸ τὸ ὕδωρ.

Ῥᾴδιον μὲν τὸ εὔοδον. τὸ ῥᾷστα τῇ ὁδῷ ἐπιτελούμενον. εὐχερὲς δὲ τὸ ταῖν χεροῖν ταχέως ἐπιτελεσθέν. εὐπετὲς δὲ τὸ ἐμπεσὸν εἰς εὐμάρειαν.

Ῥὶς, καὶ ῥύγχος διαφέρει. ῥὶς μὲν γὰρ λέγεται ἐπὶ ἀνθρώπου. ῥύγχος δὲ ἐπὶ ἀλόγου ζώου.

Ῥὶς, καὶ μυκτὴρ διαφέρει. ῥὶς μὲν γὰρ λέγεται ἡ ἀπὸ τοῦ μεσοφρύου καταγωγὴ μέχρι τοῦ χείλους. μυκτῆρες δὲ αἱ τῶν ῥινῶν κατατρήσεις δι' ὧν ἔξεισι τὸ ὑγρὸν ἀπομασσόμενον.

Ῥοιὰ μὲν μετὰ τοῦ ι τὸ δένδρον. ῥοὰ δὲ ὁ καρπός.

Ῥόδον, καὶ ῥοδωνιὰ, καὶ ῥοδῆ διαφέρει. ῥόδον μὲν γὰρ τὸ ἄνθος. ῥοδωνιὰ δὲ ὁ τόπος. ῥοδῆ δὲ τὸ φυτόν. ἀρχίλοχος, ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο. ῥοδῆς τε καλὸν ἄνθος.

Ῥύεσθαι, καὶ ἐρρύεσθαι διαφέρει. ἀριστόξενος ἐν τῷ πρώτῳ τραγῳδοποιῶν τῶν νεωτέρων οὕτω φησὶ κατὰ λέξιν. ῥύεσθαι καὶ ἐρρύεσθαι διαφορὰν ἔχει πρὸς ἄλληλα. τὸ μὲν γὰρ ῥύεσθαι ἐκ θανάτου ἕλκειν. τὸ δὲ ἐρρύεσθαι φυλάττειν.

Σταθῆναι, καὶ στῆναι διαφέρει. σταθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου. στῆναι δὲ τὸ κατ' ἰδίαν ὁρμὴν, καὶ προαίρεσιν, οἷον ἐστάθην ὁ ἀνδριὰς ὑφ' ἑτέρου, ἐστάθην ὁ νόσος. ἔστη δὲ ὁ ἄνθρωπος δι' αὐτοῦ.

Στάχυς βραχέως τὸ ἑνικόν. ἐκτεταμένως τὸ πληθυντικόν.

Σταφυλὴ ὀξυτόνως, ὡς ἀλκὴ, καὶ σταφύλη βαρυτόνως, ὡς μελίτη διαφέρειν φησὶ Πτολεμαῖος ἐν δευτέρᾳ τῶν ἐν ὀδυσσείᾳ τῶν προσῳδιῶν. τὸ μὲν γὰρ βαρυτονούμενον, φησὶν, ὄνομα ἐπὶ τῆς καθιεμένης μολίβδου, παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται. τὸ δ' ὀξυτονούμενον ἐπὶ ὀπώρας. ὁ αὐτὸς πάλιν ἐν δευτέρᾳ τῶν ἐν ἰλιάδι προσῳδιῶν κατὰ λέξιν φησὶν οὕτως. σταφύλη ἐπὶ νῶτον ἔχουσα. σταφύλη βαρυτόνως ὡς νιόβη. οὐ γάρ ἐστιν ὅμοιον τῷ συκῇ. ἐκεῖνο γὰρ διαιρεῖται συκέη. ἐκεῖνο δ' οὐ διαιρεῖται. Ἡρακλείδης ὁ ἡμέτερος φησὶν, ἡμαρτῆσθαι δοκεῖ παρὰ τοῖς ἕλλησιν ὀξυτονούμενον τοὔνομα. οὐδὲν γὰρ τῶν εἰς η λη γόντων θηλυκῶν ὀνομάτων μετέχον γένους τοῦ οὐδετέρου παρὰ τελευταῖον τοῦ υ ὀξυτονεῖται, ἀλλὰ πάντα τὰ ὑπὲρ δύο συλλαβὰς βαρυτονεῖται, κατὰ τὸ υ μὴ ὀξυτονούμενα, ἀλλὰ βαρυτονοῦντα τὸ στοιχεῖον ἔχει, οἷον κοιδύλη, δαμύλη, φεσύλη. δοκεῖ δ' αὕτη μία τῶν τιθηνησαμένων τὸν Διόνυσον. ὡς ὁ Λυκοῦργος σεῦε κατ' ἠγάθεον νυσήϊον, ἐδύλη. ὅθεν καὶ τὸ σταφύλη βαρυτονητέον. οἱ ὀξυτονοῦντές φασιν, ὅτι ἀπὸ βαρυτόνων ἀρσενικῶν, εἰς ος ληγόντων τὰ εἰς η λήγοντα θηλυκὰ ὀξυτονεῖται, ἢ ἐὰν τὰ ἀρσενικὰ ὀξύνηται, τὰ θηλυκὰ βαρυτονηθήσεται. οἷον πόθος, ποθή, νόμος, νομή, ὦνος ὠνή, τίμος τιμή, φόνος φονή. ἐν ἀργαλέῃσι φονῇσι. καὶ τοὔμπαλιν δαναὸς δανάη. ἐπεὶ οὖν καὶ ἐπὶ τούτου τὸ ἀρσενικόν ἐστι σταφύλος. οὕτω γὰρ ἐκαλεῖτο ὁ τοῦ Διονύσου υἱός, τὸ θηλυκὸν σταφυλὴ ὀξυτονηθήσεται. πρὸς οὓς ῥητέον, ἰδοὺ κόγχος κόγχη, καὶ οὐκ ὀξυτονεῖται, φίλος φίλη, μόνος μόνη, μύλος μύλη. καὶ ἐπὶ τῶν ὀξυτόνων καλὸς καλή, σοφὸς σοφή. καὶ τὰ θηλυκὰ οὐ βαρύνεται, ἀλλ' ὁμοτονεῖ τοῖς μὲν βαρυτόνοις τὰ βαρύτονα, τοῖς δὲ ὀξυτόνοις τὰ ὀξύτονα.

ὀξύτονα. ὅθεν οὐ παράδοξον καὶ ἀπὸ τοῦ στάφυλος βαρυτόνου ὀνόματος, καὶ τὸ θηλυκὸν βαρυτονεῖν σταφύλη, ὡς ἐλύλη. τινὲς δὲ βοηθοῦντες τῇ συνηθείᾳ, καὶ ὀξυτονεῖν βουλόμενοί φασιν ὅτι ὅσα τὰ αὐτοῦ ἀπαραλλάκτως ἔχεται σημαινομένου ὁμοτονεῖ. ὅσα δὲ διαλλάσσει τῶν σημαινομένων οὐκέτι. ὁ μὲν οὖν φίλος, καὶ φίλη. καὶ ξένος, καὶ ξένη. καὶ τὰ προκείμενα, ἀπαράλλακτά ἐστι, διὸ ὁμοτονεῖ. τὰ δὲ διαφέροντα οὐκέτι. καθάπερ γὰρ χόλος χολή, καὶ τρόπος τροπή, καὶ νόμος νομή, γόνος γονή, δόμος δομή, στρόφος στροφή, πόθος ποθή. περὶ τούτου οὖν ἐν ἄλλοις ἐντελῶς εἴρηται ὅτι διαφέρει εἰ οὖν ἐστι στάφυλος ἀρσενικόν, διαφέρει δὲ τῷ σημαινομένῳ ἡ σταφυλή. ὀπώρα δὲ ὄντως ὀξύνεται. τὸ μέντοι προκείμενον τοῦ Ἡρακλείδου παρατήρημα ἰσχυρόν, καθὰ παραγγέλλεται ὀξυτονεῖν. οὐ μόνον διὰ τὰ παρακολουθοῦντα τῷ ὀνόματι, ἀλλ' ὅτι καὶ ὑπὲρ δύο ἐστὶ συλλαβάς. τὰ γὰρ προκείμενα δισύλλαβα. ὥστε τὸ δὲ τὴν ὀπώραν ὀξυτονεῖν ἡ ἀναλογία ἐπιτρέπει. ἀλλὰ καὶ ἡ Πτολεμαίου ἀθετεῖται παρατήρησις, καθ' ἣν διαφέρειν φησὶ τοῖς τόνοις τοὔνομα καὶ τῷ σημαινομένῳ.

Σημεῖον, καὶ τεκμήριον διαφέρει. ἀντιφῶν ἐν τῇ τέχνῃ τὰ παρῳχόμενα σημείοις πιστεύεσθαι. τὰ δὲ μέλλοντα τεκμηρίοις.

Σισύρα, καὶ σίσυρνα διαφέρει. σισύρα μὲν γὰρ τὸ ἐκ τῶν τετριχωμένων δερμάτων ἀναποίητον στέγαστρον, σίσυρνα δὲ τὸ ἐκ τῶν κορκύδων ῥαπτόμενον ἀμπεχόνιον.

Σηκὸς δύο σημαίνει, θεῶν τε ναὸν, καὶ προβάτων περιφράγματα.

Σικελὸς, καὶ σικελιώτης διαφέρει. σικελὸς μὲν γὰρ ἐστιν ὁ ἐξ αὐτῆς τῆς σικελίας ὤν. σικελιώτης δὲ ὁ σικελὸς μὲν μὴ ὤν, τὴν δὲ χώραν αὐτὴν οἰκῶν.

Σιωπή, καὶ σιγὴ διαφέρει. σιωπὴ μὲν γὰρ ἐστι κατάσχεσις λόγου. σιγὴ δὲ στέρησις λόγου.

Σκήπτεσθαι, καὶ σκέπτεσθαι διαφέρει. σκήπτεσθαι μὲν γὰρ ἐστι τὸ προφασίζεσθαι. σκέπτεσθαι δὲ τὸ βουλεύεσθαι.

Σκῶμμα γελοίου, εὐτραπέλου, καὶ γεφυρισμοῦ διαφέρει. σκῶμμα μὲν γὰρ ἐστι τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον, οἱονεὶ σκέμμα. γελοῖον δὲ τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χαρίεις τινὸς ὕβρεως. εὐτράπελον τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον. γεφυρισμὸς δὲ ἀπὸ τοῦ τοῖς Ἀθήνησιν ἐπὶ τῶν γεφυρῶν ἐπιγράφειν. ἤτοι ἔμμετρα, ἢ καὶ δίχα μέτρων διασυρμούς τινῶν.

Σοφὸς, καὶ συνετὸς διαφέρει. καθὸ ὁ σοφὸς καὶ συνετός. ὁ δὲ συνετὸς οὐ πάντως σοφός.

Σοῖο, καὶ σεῖο παρὰ ποιηταῖς κατὰ τοὺς ἀκριβῶς ἀναγινώσκοντας διαφέρει. σοῖο μὲν γὰρ ἐστι σύναρθρος ἀντωνυμία, οἷον μνήσεο παιδὸς σοῖο. ἡ δὲ σεῖο οὐ σύναρθρος. σεῖο δέκεν ζώου καὶ τρεῖς τόσα δῶρον ἄποινα. ἀντὶ τοῦ σοῦ ζῶντος καὶ τρεῖς τοσαῦτα δῶρον ἄποινα. οὐκέτι σοῦ ζῶντος. καὶ φυλάττεται ταῦτα ἄκρως παρ' Ὁμήρῳ.

Σπονδαὶ, καὶ συνθῆκαι διαφέρει. σπονδαὶ μὲν εἰσὶν ἃς ἐκ πολέμου συντίθενται πρὸς ἀλλήλους ἃς ἀναγράφονται ἐφ' οἷς διακρίνονται οἷον συντιθέμενοι μὴ πολεμήσειν, μηδ' ἀδικήσειν ἀλλήλους. συντίθενται δὲ εἰρήνην καὶ φιλίαν πρὸς ἀλλήλους. καὶ τὸ παρὰ ταύτας πραχθὲν, ἀρχὴ γίνεται πολέμου.

Σπουδάζειν, καὶ σπεύδειν διαφέρει. σπουδάζειν μὲν γὰρ ἐστι τὸ ἐναντίον τοῦ παίζειν. σπεύδειν δὲ τὸ βοηθεῖν τινι, καὶ συναίρεσθαι.

Στρατόπεδον, καὶ στρατὸς διαφέρει. στρατόπεδον ὁ τόπος ἐν ᾧ ἡ στρατεία, στρατὸς δὲ τὸ στρατιωτικὸν πλῆθος. στρατεία ἐκτεταμένως τὸ πρᾶγμα. στρατιὰ συνεσταλμένως τὸ τῶν στρατιωτῶν πλῆθος. ἐναλλάσσει δὲ πολλάκις ἐν τῇ χρήσει.

Στρατὸς, καὶ στράτευμα καὶ στρατόπεδον διαφέρει. στρατὸς μὲν γὰρ καὶ στράτευμα κυρίως τὸ πλῆθος λέγεται. στρατόπεδον δὲ ὁ τόπος ἐν ᾧ εἰσι.

Συμμαχεῖν, καὶ ἐπιμαχεῖν διαφέρει. συμμαχεῖν μὲν γὰρ λέγουσιν τὸ σὺν ἑαυτοῖς φησὶ Δίδυμος εἴτ' αὐτοῖς ἐπίοιεν πολέμιοι, εἴθ' ἑτέροις ἐπιστρατεύοιεν. ἐπιμαχεῖν ὅταν τοὺς ἐπιόντας ἀμύνωνται μόνον. διέσταλκε Θουκυδίδης ἐν τῇ πρώτῃ λέγων, Κερκυραίους Ἀθηναίους συμμαχίαν μὲν οὐ ποιήσασθαι, ἐπιμαχίαν δέ.

Σύνεργος, καὶ συνεργὸς διαφέρει. συνεργὸς μὲν γὰρ ὀξυτόνως ὁ περί τι ἔργον ἀνεπιτήδειον συμπονῶν. σύνεργος δὲ παροξυτόνως ὁ τὸ αὐτὸ μετιών, οἷον σύντεχνος.

Σύγγραμμα συντάξεως διαφέρει. σύγγραμμα μὲν γὰρ ἐστιν ὁ δίχα μέτρου λόγος ὁ προσαγορευόμενος πεζός. σύνταγμα δὲ πολεμικόν τι σύστημα, ἀφ' οὗ καὶ συνταγματάρχης ὁ τοῦ συστήματος αὐτοῦ ἄρχων.

Σύνθεσις συντάξεως διαφέρει. σύνθεσις μὲν γὰρ ἐστιν ὁ λόγος ὁ ἔμμετρος. σύνταξις δὲ ὁ λόγος ὁ πεζός.

Συμβουλὴ παραινέσεως διαφέρει. συμβουλὴ μὲν γὰρ ἐστιν εἰσήγησις ἀντιλογίαν ἐπιδεχομένη, διὰ τὸ ἄδηλον τοῦ ἐκβησομένου. καὶ γὰρ ἐάν τις συμβουλεύσῃ πόλεμον, ἀμφίβολον εἰ συμφέρει. διὸ καὶ ἔχει τὸ ἀνθιστάμενον. παραίνεσις δέ ἐστι συμβουλὴ ἀντίρρησιν οὐκ ἐπιδεχομένη. διὰ τὸ δι' αὐτῆς λεγόμενον πάντως ὁμολογεῖσθαι ἀγαθόν. ὡς εἴ τις παραινέσει σωφρονεῖν. ὅπερ ἐστὶν ὁμολογούμενον ἀγαθόν.

Σφάξαι, καὶ θῦσαι διαφέρει. θῦσαι μὲν γὰρ ἐστι τὸ θυμιᾶσαι. σφάξαι δὲ τὸ ἱερουργῆσαί τι ζῶον. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν οὕτως. ἐπὶ μὲν τοῦ θῦσαι εἰπών. θεοῖσι δὲ θῦσαι ἀνώγει Πάτροκλον ὃν ἑταῖρον, ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς. ἐπὶ δὲ τοῦ σφάξαι, αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν, καὶ ἔδειραν.

Στύραξ θηλυκῶς μὲν θυμίαμα, ἀρσενικῶς δὲ τὸ ξύλον τοῦ ἀκοντίου.

Σχισταὶ, τὰ ὑποδήματα. δῦς πόλις φίλοις, οὐ λευκά, ταῦτα δὲ ἀργείας φέρειν σχιστὰς ἐνεργεῖν. σχιστὸς

δὲ ἀῤῥενικῶς χιτὼν γυναικεῖος. Ἀπολλόδωρος ἐν ἐφήβοις, σχιστὸν χιτωνίσκον τινὰ ἐνδέδυκας.

Σχολῇ τὸ ἠρέμα καθὼ φαμέν. σχολῇ βαδίζω, καὶ τὸ ἐν καιρῷ, καθ' ὃ λέγεται οὐκ εἶχον σχολήν. καὶ ἡ διατριβή. καὶ οἱ μαθηταί. διὸ φαμὲν λαμπρὰν σχολήν.

Τάλαν διὰ τοῦ ν τὸ ἐπίῤῥημα, διὰ δὲ τοῦ ς ὁ ταλαίπωρος.

Τάπητες καὶ ἀμφιτάπητες διαφέρουσι. τάπητες μὲν γάρ εἰσιν οἱ ἐκ τοῦ ἑτέρου μέρους μαλακὸν ἔχοντες. ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων.

Ταυρόκτονος, ὁ ὑπὸ ταύρου ἀναιρεθείς. ταυροκτόνος ὁ ταῦρον ἀποκτείνας.

Τέχνη ἐπιτηδεύματος διαφέρει. τέχνη μὲν γάρ ἐστιν ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον γραμματική, ῥητορική· ἐπιτήδευμα δὲ τὸ λόγου χρῇζον, οἷον χαλκευτική, τεκτονική.

Τεχνίτης, καὶ βάναυσος διαφέρει. τεχνίτης μὲν γάρ ἐστιν ὁ λογικῆς τινος τέχνης ἔμπειρος καθεστώς. βάναυσος δὲ ὁ ἀλόγου τινὸς ἐπιτηδεύματος.

Τέτραχμον καὶ τετράδραχμον διαφέρει. τέτραχμον μὲν γάρ ἐστι τὸ νόμισμα. τετράδραχμον δὲ τὸ τῶν τεσσάρων δραχμῶν.

Τέρας σημείου διαφέρει. τὸ μὲν γὰρ τέρας παρὰ φύσιν γίνεται. τὸ δὲ σημεῖον παρὰ συνήθειαν.

Τεχνάσματα, καὶ τεχνήματα διαφέρει. τεχνάσματα μὲν γὰρ τὰ κακουργήματα. τεχνήματα δ' αἱ τέχναι.

Τείχη, καὶ τειχεῖα διαφέρει. τείχη μὲν γάρ ἐστι τὰ τῶν πολεμίων. τειχεῖα δὲ τὰ τῶν οἰκιῶν.

Τήθη, καὶ τηθὶς διαφέρει. τήθη μὲν γάρ ἐστιν ἡ τοῦ παιδὸς τροφός. ταύτας δ' ἔνιοι μαίας, καὶ μάμμας καλοῦσι. τηθὶς δέ ἐστιν ἡ τοῦ πατρὸς ἢ μητρὸς ἀδελφή, ἣν ἔνιοι θεῖαν καλοῦσι.

Τιτθή, καὶ τροφός, καὶ τιθηνὸς διαφέρει. τιτθὴ μὲν γάρ ἐστιν ἡ μαστὸν ἔχουσα. τροφὸς δὲ καὶ τιθηνὸς ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς καὶ μετὰ τὸν ἀπογαλακτισμόν.

Τιμωρεῖσθαι, καὶ τιμωρεῖν διαφέρει. τιμωρεῖσθαι μὲν γάρ ἐστι τὸ κολάζειν. τιμωρεῖν δὲ τὸ βοηθεῖν τοῖς ἀδικουμένοις.

Τίθησι, καὶ τίθεται διαφέρει. τίθησι μὲν γὰρ τὸν νόμον ὁ νομοθέτης. τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες, καὶ αἱρούμενοι.

Τοὔνεκα καὶ οὕνεκα διαφέρει. τὸ μὲν γὰρ τοὔνεκά ἐστι τούτου ἕνεκα τὸ δὲ οὕνεκα ἀντὶ τοῦ ὅτι. ἁμαρτάνει οὖν ὁ Καλλίμαχος ἐν Ἀικάλῃ κατὰ δύο τρόπους, λέγων. τοὔνεκεν αἰγαῖος ἔσχον. ὅτι τε δέον εἰπεῖν οὕνεκα, τοὔνεκεν εἶπε. καὶ ὅτι ἀντὶ τοῦ κα, κεν εἶπεν.

Τιμωρεῖν, καὶ τιμωρεῖσθαι διαφέρει. τιμωρεῖν μὲν γάρ ἐστι τὸ βοηθεῖν τινι, καὶ συναίρεσθαι. τιμωρεῖσθαι δὲ τὸ κολάζειν. καὶ συντάττουσι. τιμωρῶ τῷ φίλῳ ἀντὶ τοῦ βοηθῶ. τιμωροῦμαι τὸν ἐχθρὸν, ἀντὶ τοῦ κολάζω.

Τίθεται νόμον, καὶ τίθησι διαφέρει. τίθησι μὲν γὰρ



ὁ εἰσφέρων. τίθεται δὲ ὁ κυρῶν.

Τόμος, καὶ τομὸς διαφέρει. τόμος μὲν γάρ ἐστιν ὁ τεμνόμενος χάρτης. τομὸς δὲ ὁ τέμνων σίδηρος.

Τρίετες βαρυτόνως, καὶ τριετὲς ὀξυτόνως διαφέρει. φησὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης. ἐὰν μὲν γὰρ βαρυτονήσωμεν, ἔσται ἐπὶ χρόνου. διὸ καὶ ὁ ποιητής φησι. ὡς τρίετες μὲν ἔληθε δόλῳ. ἐὰν δὲ ὀξυτονήσωμεν τριετὲς, ὡς εὐφυὲς, ἔσται ἐπὶ ἡλικίας. οἷον τριετὲς τὸ παιδίον. ὅθεν τὸ ὀκτετὲ ἀδμήτην, χρὴ οὖν ἀναγινώσκειν, ὡς ἀξιοῖ ὁ Ἀσκαλωνίτης.

Τροχοὶ ὀξυτόνως, καὶ τρόχοι βαρυτόνως διαφέρουσι παρὰ τοῖς Ἀττικοῖς, φησὶ Τρύφων ἐν δευτέρᾳ περὶ Ἀττικῆς προσῳδίας. τοὺς μὲν γὰρ περιφερεῖς τροχοὺς ὁμοίως ἡμῖν προφέρονται, ὀξυτονοῦντες. τρόχους δὲ βαρυτόνως λέγουσι τοὺς δρόμους. ἀναγινώσκομεν γὰρ ὥς φησι μὲν ἐν ἀλώπηξι Εὔπολις. ὁρῶ Μένανδρον τόνδε γυμνάδας, ὅλον τ' ἔχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον. ἀναλογώτερον δὲ τὸ βαρύνειν. τὰ γὰρ εἰς χος δισύλλαβα παρατελεύτου ὄντος τοῦ ο βαρυτονεῖται. οἷον λόχος, ὄχος, βρόχος, κόγχος, κόλχος, μόσχος. οὕτω καὶ τρόχος καὶ ἔτι τὰ παρὰ ῥήματος εἰς ω βαρύτονα καὶ αὐτὰ βαρυτονεῖται ἰσοσυλλαβοῦντα. οἷον πλέκω πλόκος. σπείρω, σπόρος. λέγω λόγος, φέρω φόρος, οὕτω καὶ τρέχω τρόχος.

Τραγῳδοὶ, καὶ κωμῳδοὶ, καὶ τραγῳδοποιοὶ, καὶ κωμῳδοποιοὶ διαφέρουσι. τραγῳδοὶ μὲν γὰρ καὶ κωμῳδοί εἰσιν οἱ ὑποκριταὶ τῆς κωμῳδίας καὶ τραγῳδίας. τραγῳδοποιοὶ δὲ καὶ κωμῳδοποιοὶ οἱ ποιηταὶ τῶν δραμάτων.

Τύραννον, οἱ ἀρχαῖοι ἐπὶ βασιλέως ἔταττον. Ἡρόδοτος ἐπὶ Κροίσου. τυράννου δ' ἐθνέων καὶ προβάς. τελευτήσαντος δὲ αὐτέου διεδέξατο τὴν βασιλείην. καὶ Ἀριστοφάνης ἐν Λημνίαις ἐν ταῦ' ἐτυράννευεν Ὑψιπύλης πατὴρ Θόας. βραδύτερος τῶν ἐν ἀνθρώποις δραμεῖν. ἔσθ' ὅτε καὶ τὸν τύραννον βασιλέα ἔλεγον. ὡς Εὔπολις ἐν δήμοις ἐπὶ τοῦ Πεισιστράτου.

Τήθη μού ἐστιν ἡ μάμμη. ἐπιτήθη δὲ ἡ προμάμμη. τηθὶ δὲ ἡ θεία, τιτθὴ δὲ ἡ τροφός.

Ὕμνος ἐγκωμίου διαφέρει. ὁ μὲν γὰρ ὕμνος ἐστὶ θεῶν. τὸ δὲ ἐγκώμιον ἀνθρώπων.

Ὕπαρ ὀνείρατος διαφέρει. ὕπαρ μὲν γάρ ἐστιν ἡ ἐναργὴς ὄψις. ὄνειρον δὲ ἡ ἐν τῷ καθεύδειν φαντασία.

Ὑπαντῆσαι, καὶ ἀπαντῆσαι διαφέρει. ὑπαντῆσαι μὲν γὰρ ἐπὶ ὁδοῦ λέγεται. ἀπαντῆσαι δὲ τὸ περιτυχεῖν δίκῃ. οἷον ἀπήντησε κατὰ τὴν δίκην. ἀντὶ τοῦ περιέτυχεν.

Ὑπόσχεσις, καὶ ἐπαγγελία διαφέρει. ὑπισχνεῖται μὲν γάρ τις ὁ τὸ ἀξιωθὲν διδόναι μέλλων. ἐπαγγέλλεται δὲ ὁ δίχα παρακλήσεως παρέχειν βουλόμενος.

Ὑποψία ὑφοράσεως διαφέρει. ὑποψία μὲν γάρ ἐστι κακοῦ τις ὑπόνοια. ὑφόρασις δὲ δόξα ἐπὶ τὸ χεῖρον.

Ὑπάρξαι, τὸ, τε γενέσθαι, καὶ τὸ κατάρξασθαι.

ὑπάγει

Υ πάγειν, καὶ πορεύεσθαι διαφέρει. ὅτι τὸ πορεύεσθαι μέν ἐστι τὸ βαδίζειν. ὑπάγειν δὲ τὸ ὑπὸ ζυγὸν ἄγειν βοῦς, ἢ ἵππους, ἤ τι τῶν τοιούτων. ὡς ὅμηρος, ὕπαγε ζυγὸν ὠκέας ἵππους. οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν, ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. ὥσπερ ὑφηγητὴν ἀντὶ τοῦ προηγητήν. καὶ ὑπογραμμὸν, ἀντὶ τοῦ προγραμμόν. ὥς φησι καὶ ἀριστοφάνης. ἐγὼ δὲ ὑπαίρω τὸν ὄρκον. ἀντὶ τοῦ προαίρω. οὕτως οὖν καὶ ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. τουτέστιν εἰς τοὔμπροσθεν πορεύεσθαι. κέχρηται τῇ λέξει εὔπολις ἐν βάπταις. σὺ δ' ὕπαγε εἰς τοὔμπροσθεν.

Φ ακοὺς φακῆς διαφέρειν φασί. φακοὶ οἱ ἔτι ὠμοὶ οὐχ ἑνικῶς. φακῆ δὲ ἡ ἑψημένη. τετήρηται παρὰ τοῖς παλαιοῖς ἡ διαφορά.

Φ αυλία, καὶ φυλία διαφέρει. φαυλία. μὲν γὰρ εἶδος ἐλαίας. φυλία δὲ ἡ σχῖνος.

Φ άκελος, καὶ σφακέλη διαφέρει. φάκελος μὲν γάρ ἐστι φορτίον ξύλων. θουκυδίδης, φακέλους ὕλης ἀργείας. σφάκελος δὲ ὁ μετὰ φλεγμονῆς σπασμός.

Φ άσκαλος, φασκωλίου διαφέρει. φάσκαλος μὲν γάρ ἐστιν ἱματιοφορίς. φασκώλιον δέ ἐστι δερμάτιον.

Φ αρμακεία γοητείας διαφέρει. φαρμακεία μὲν γὰρ κυρίως ἡ βλάβη ἡ διὰ δηλητηρίου τινὸς γινομένη φαρμάκου. γοητεία δὲ ἡ ἀπὸ ἐπικλήσεώς τε, καὶ ἐπαοιδῆς φαρμακεύς. φαρμακὸς δὲ ὀξυτόνως, ὁ ἐπὶ καθάρσει τῆς πόλεως ῥιπτόμενος.

Φ άσμα μέν ἐστι τὸ ὅμοιον ἀληθείᾳ. φάντασμα δὲ τὸ ἑτερόμορφον. εἴδωλον δὲ τὸ ὅμοιον τῇ σκιᾷ. τέρας δὲ ἐναργὲς σῶμα ἑτερόμορφον. βρέτας δὲ τὸ ξόανον.

Φ άγαινα μὲν λέγεται ἡ μετὰ τὰς νόσους πολυφαγία. φαγαίδαινα δὲ φῦμα ἀνήκεστον.

Φ εύγει, καὶ ἀποφεύγει διαφέρει. φεύγει μὲν γὰρ δίκην ὁ κατηγορούμενος, καὶ γὰρ ὁ κατηγορῶν διώκει. ἀποφεύγει δὲ ὁ νικήσας, καὶ λυθεὶς τῆς κατηγορίας.

Φ θίοι, καὶ φθιῶται διαφέρουσι. φθίοι μὲν γὰρ οἱ ἀπὸ τοῦ πρωτεσιλάου. φησὶ γοῦν ὅμηρος. πρὸ φθίων τε μέδονται, οἷον δ' οὐκ ἀπὸ πόλεως, οὐδ' ἀπὸ χώρας, ἀλλ' ἀπ' ἀνδρὸς φθίου. φθιῶται δὲ οἱ ὑπὸ τῷ ἀχιλλεῖ ἀπὸ πόλεως θεσσαλικῆς φθίας, καὶ χώρας ὁμωνύμου. φθίην δ' ἐξικόμην ἐριβώλακα, ἠγνόησεν οὖν καλλίμαχος εἰπών. οὐδέ τι τὴν φθίων εἶχεν ἀνακτορίην.

Φ ιλεῖν, καὶ κυνεῖν διαφέρει. ὅτι τὸ μὲν κυνεῖν τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι. φιλεῖν δὲ τὸ ἀγαπᾶν καὶ ξενίζειν.

Φ ίλος, καὶ ἑταῖρος διαφέρει, φίλοι μὲν γὰρ κοινῶς ἅπαντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες. οἱ καὶ ἐν τῇ συνηθείᾳ καὶ ἐν τῇ συνεργείᾳ πολὺν χρόνον γεγονότες.

Φ όρος, καὶ φορὸς διαφέρει. φόρος μὲν γὰρ λέγεται ὁ φέρων. οὕτως καὶ φόρος ἡ ἀναίρεσις. φορὸς δὲ ὁ τόπος τῆς ἀναιρέσεως καὶ φορός ὁ φερόμενος.

Φ ράσον, καὶ φράσαι διαφέρει. φράσον μὲν γάρ ἐστι τὸ εἰπέ. φράσαι δὲ ἀντὶ τοῦ διανοήθητι. σύ δὲ φράσαι εἴ με σαώσεις.

Φ ριμάττεσθαι, καὶ φρυάττεσθαι διαφέρει. φριμάττεσθαι μὲν γὰρ τὸν τράγον φαμὲν, καὶ φριμαγμὸς ἡ τοῦ τράγου φωνή, ὥσπερ φρυμογμός. φρυάττεσθαι δὲ τὸν ἵππον τὸν φυσῶντα, καὶ γαυρώμενον.

Φ ρονεῖν τοῦ καταφρονεῖν διαφέρει φρονεῖν μὲν γάρ ἐστι τὸ λογίζεσθαί τι, καὶ ἐνθυμεῖσθαι. καταφρονεῖν δὲ τὸ εὐτελίζειν, καὶ ὑπερορᾶν.

Φ ερνὴ μὲν ἡ προίξ. φέρνιον δὲ τὸ ἁλιευτικὸν σπυρίδιον.

Φ ύλλον, καὶ φῦλον διαφέρει. φύλλον μὲν γὰρ τὸ πέταλον δένδρου. φῦλον δὲ τὸ γένος.

Φ ωνεῖν, καὶ ὠρύεσθαι διαφέρει. φωνεῖν μὲν γὰρ ἐπὶ ἀνθρώπων λέγεται. ὠρύεσθαι δὲ ἐπὶ λύκων. παρατηρητέον δὲ ἐπὶ τῶν λοιπῶν τὸ οἰκεῖον ἑκάστου. ὅτι βληχᾶσθαι μὲν γὰρ λέγεται ἐπὶ τῶν προβάτων. μηκᾶσθαι δὲ ἐπὶ τῶν αἰγῶν διὰ τοῦ η. μυκᾶσθαι δὲ ἐπὶ τῶν βοῶν διὰ τοῦ υ. βρωμᾶσθαι ἐπὶ ὄνων. βρυχᾶσθαι δὲ ἐπὶ λεόντων. χρεμετίζειν δὲ ἐπὶ ἵππων. ἀραρίζειν δὲ ἐπὶ κυνῶν παρ' ἀθηναίοις ἀπὸ τῆς αρ φωνῆς. παρ' ἡμῖν δ' ὑλακτεῖν λέγεται.

Φ ωλεὸς, καὶ κοίτη διαφέρει. φωλεὸς μὲν γὰρ ἐπὶ τῶν ἑρπετῶν τάσσεται. κοίτη δὲ ἐπὶ ἀνθρώπων. ὥστε ἐπὶ μὲν ἑρπετῶν ῥητέον τὸ φωλεύειν. ἐπὶ δὲ ἀνθρώπων τὸ κοιτάζειν. ἐπὶ δὲ τῶν ὀρνέων τὸ νοσσεύειν. ὁ γοῦν λέγων νοσσιὰν τῶν τέκνων, ἀκυρολογεῖ. τέκνα μὲν γὰρ ἀνθρώπων. νεοσσοὶ δ' ὀρνίθων. νεβροὶ δὲ ἐλάφων. σκύμνοι δὲ λεόντων. σκύλακες δὲ κυνῶν.

Χ Άραξ θηλυκῶς μὲν ἐπὶ τῶν τῇ ἀμπέλῳ παραδεσμουμένων. ἀρσενικῶς δὲ ἐπὶ τῶν ἐν τοῖς πολέμοις περιπηγνυμένων. ἀφ' ὧν λέγουσι χαρακώσαντες, ἀντὶ τοῦ περιφράξαντες, καὶ χαρακώματα τὰ περιφράγματα.

Χ αρὰ, καὶ εὐφροσύνη, καὶ τέρψις, καὶ εὐθυμία, καὶ ἡδονὴ, καὶ ἀπόλαυσις διαφέρουσι. χαρὰ μὲν γάρ ἐστι πρόσφατος ψυχῆς ἔπαρσις, καὶ διάχυσις. εὐφροσύνη δὲ πάθος χρονίου μετὰ σωφροσύνης γινόμενον. τέρψις δὲ οἱονεὶ τρέψις, καὶ ψυχαγωγία, ἀπὸ τοῦ ἀηδοῦς ἐπὶ τὸ κρεῖσσον. εὐθυμία δὲ βραχεῖα ψυχῆς χαρά. ἡδονὴ δὲ ἐκ ψυχῆς, ἀρεσία. ἀπόλαυσις δὲ ἕξις κοινῶς ἐπὶ πάσης μεταλήψεως τασσομένη ἀγαθῆς τε, καὶ φαύλης.

Χ ειμάζειν οὐ μόνον τὸ παραχειμάζειν ἀλλὰ καὶ τὸ ἐνοχλεῖν. ὡς Μένανδρος ἐν ἡνιόχῳ.

Χ λαῖναν, καὶ χλανίδα διαφέρειν φησὶ τρύφων ἐν τῷ πέμπτῳ περὶ ἑλληνισμοῦ, καὶ παρατίθεται Ξενοφῶντα. χλαίνας μὲν γάρ φησι λέγεσθαι ἐπὶ τῶν ἐγκοιμήτρων καὶ παχέων, διὸ καὶ ὅμηρον φάναι. ἐνθάδε τ' ἐκθεῖσαι πυκινὸν λέχος. ἔμβαλετ' εὐνῇ. δέμνια, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα. χλανίδας δὲ τὰς φορουμένας καὶ μαλακωτέρας. ἀντιπίπτει τῷ παρατηρήματι χλαῖναν πορφυρέην ἀντ' ὀφθαλμοῖσιν ἐπισχών. μήποτε οὖν ἄμεινον λέγειν, τὰς μὲν χλαίνας ἐπὶ τῶν ἐγκοιμήτρων, καὶ φορουμένων, χλανίδας δὲ ἐπὶ μόνων τῶν φορουμένων, οὐκέτι δὲ ἐπὶ τῶν ἐγκοιμήτρων.

Χλαμύς, καὶ χλαῖνα διαφέρει, καθὸ δὴ ἐπὶ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρῳ Ἰλιάδος, ἡ μὲν χλαῖνα ἡρωϊκὸν φόρημα. χλαμὺς δὲ μακεδονικόν, μετὰ ἑξακόσια ἔτη τῶν ἡρωϊκῶν ὀνομασθεῖσα. Σαπφὼ (αὕτη γὰρ μέμνηται τῆς χλαμύδος) διαφέρειν φησὶ καὶ τῷ σχήματι. ἡ μὲν γὰρ χλαῖνα τετράγωνον ἱμάτιον. ἡ δὲ χλαμὺς εἰς τέλειον ὡσεὶ τὰ κάτω συνῆκται, καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι προσάγεται Ἀριστοτέλην Φίλαρχον Πολέμωνα, ὅτι πολὺ διαφέρουσι.

Χιτώνιον, καὶ χιτωνίσκος διαφέρει. χιτωνίσκος μὲν γὰρ ὁ τοῦ ἀνδρὸς χιτών. χιτώνιον δὲ τὸ τῆς γυναικὸς ἔνδυμα.

Χόας συνεσταλμένως τὴν ἑορτήν, Ἀριστοφάνης Ἀχαρνεῦσιν. ἀκούετε λεῴ κατὰ τὰ πάτρια τῆς χόας. χοᾶς δὲ περισπωμένως ἐπὶ μέτρου τοῦ οἴνου.

Χορήγιον, καὶ χορηγὸς διαφέρει. χορήγιον μὲν τὸ διδασκαλεῖον, καὶ χορηγὸς ὁ διδάσκαλος. χορὸς δὲ τὸ σύστημα τῶν παίδων, καὶ τῶν ᾀδόντων.

Χολάδες, καὶ χόλικες διαφέρει. χολάδες μὲν γὰρ τὰ ἔντερα. χεῦντο χαμαὶ χολάδες. χόλικες δ' αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης Βαβυλωνίοις. ἢ βοϊδαρίων τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιθυμῶν.

Χρήστας, καὶ δανειστὰς λεκτέον καὶ τοὺς χρεωφειλέτας. χρηστήριον ὁ τόπος, καὶ ὁ χρησμός, καὶ τὸ ἱερόν.

Χύτραι, καὶ χυτρεῖα διαφέρει. χύτραι μὲν γὰρ καὶ αὐτὰ τὰ σκεύη, καὶ τὰ χυτροπωλεῖα. χυτρεῖα δὲ τὰ τῶν χυτρῶν ὄστρακα.

Ψάλλιον, καὶ ψέλλιον διαφέρει. ψάλλιον μὲν τὸ τοῦ ἵππου. ψέλλιον τὸ ἄκροις βραχίοσι περιτιθέμενον κόσμιον. οἱ δωριεῖς ψέλλιον καλοῦσι τὸ ἄκρον. ὅθεν καὶ ἡμεῖς τὴν ἐπ' ἄκραν χειλέαν λεγομένην προσῳδίαν, ψιλὴν ἐκαλέσαμεν, ὥς φησι Τρύφων.

Ψάμαθος, καὶ ἄμαθος διαφέρει. ψάμαθον μὲν γὰρ τὴν παραθαλασσίαν ἄμμον, ἐπεὶ ψαμάθοις ἁλίησιν. ἄμαθον δὲ τὴν κόνιν. τύχε γὰρ ἀμάθοιο βαθείης.

Ὥρα δασέως τοῦ ἔτους, καὶ τῆς ἡμέρας. ψιλῶς δὲ ἡ φροντίς.

Ὠνήσασθαι, καὶ ἀγοράσαι διαφέρει. ὠνήσασθαι μὲν γάρ ἐστι τὸ πρίασθαί τι τῶν πωλουμένων. ἀγοράσαι δὲ καὶ τὸ ἐν ἀγορᾷ διατρίψαι.

Ὠτειλή, καὶ οὐλὴ διαφέρει. ὠτειλὴ μὲν γάρ ἐστι τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτάσθαι.
οὐλὴ δὲ ἡ ὑγιασμένη σὰρξ ἐκ
τραύματος παλαιοῦ. ὡς
Ὅμηρος, οὐλὴν τήν
ποτέ μιν
σῦς ἤλασε λευκῷ ὀδόντι.

ΤΕΛΟΣ.

## ΤΑΞΙΣ ΠΑΛΑΙΑ, ΚΑΙ ΟΝΟΜΑΣΙΑΙ ΤΩΝ ΑΡΧΟΝΤΩΝ.

Καταλοχίσαι τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ.

Λόχος ἔνιοι μὲν τὸ σύστημα τὸ ἐξ ἀνδρῶν η. οἱ δὲ τὸ ἐξ ἀνδρῶν ιβ. οἱ δὲ, τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος ὃ καὶ τέλειόν φασι καὶ σύμμετρον.

Λοχαγὸς, πρωτοστάτης, καὶ ἡγεμὼν, ὁ αὐτός ἐστιν. ἔστι μὲν ὁ α καὶ ἄριστος τοῦ λόχου.

Οὐραγὸς, ὁ τελευταῖος τοῦ λόχου.

Στίχος, καὶ δεκανία, καὶ λόχος, τὸ αὐτό ἐστιν. οἱ δὲ καὶ ἐνωμοτίαν αὐτὸ καλοῦσιν. οἱ δὲ τὸ ϛ. λέγουσι τοῦ λόχου τὴν ἐνωμοτίαν. οἱ δὲ τὸ δ.

Ἐνωμοτάρχης, ὁ τῆς ἐνωμοτίας ἄρχων.

Διμοιρίαν, καὶ ἡμιλοχίαν, τὸ αὐτό φασιν.

Διμοιρίτης, καὶ ἡμιλοχίτης, ὁ ἄρχων τοῦ ἡμιλόχου, καὶ τῆς μοίρας.

Ἐπιστάτης, ὁ τοῦ λόχου ὀπίσω τεταγμένος, ὁ δὲ μετ' αὐτὸν, πρωτοστάτης. ὁ δὲ μετὰ τοῦτον πάλιν ἐπιστάτης, ὡς εἶναι τὸν ὅλον στίχον ἐκ πρωτοστατῶν, καὶ ἐπιστατῶν συγκείμενον. ἔνιοι δὲ λοχαγὸν μὲν, τὸν πρωτοστάτην λέγουσιν ὥσπερ καὶ οὗτοι, καὶ οὐραγὸν τὸν ἐπιστάτην. τοὺς ἐν μέσῳ δὲ οὐχ ὡσαύτως. ἀλλ' ἐπιστάτην μὲν, τὸν μετὰ τὸν πρωτοστάτην ἤτοι β. τὸν δὲ γ. ἀπὸ τοῦ πρωτοστάτου ὑποστάτην.

Συλλοχισμός ἐστιν, ὅταν τῷ α λόχῳ ἕτερος λόχος ἐπιτεθῇ. ὥστε λοχαγὸν λοχαγῷ, καὶ οὐραγὸν οὐραγῷ, καὶ τοὺς μεταξὺ τοῖς ὁμοζύγοις παρίστασθαι.

Τετραρχία, οἱ ὁμόλοχοι ἀνδρῶν ξδ. καὶ ἡγούμενος τετράρχης.

Τάξεις, αἱ δύο τετραρχίαι, ἀνδρῶν ρκη. καὶ ὁ ἡγούμενος πάλαι μὲν ταξίαρχος, νῦν δὲ ἑκατοντάρχης.

Σύνταγμα ὃ ἔνιοι παράταξιν, αἱ β τάξεις, ἄνδρες σνϛ. καὶ ὁ ἡγούμενος συνταγματάρχης. τοῦτο δὲ ἔνιοι καὶ ξεναγίαν καλοῦσι, καὶ ξεναγὸν τὸν ἡγούμενον.

Πεντακοσιαρχία τὰ β τάγματα. ἄνδρες φιβ. καὶ ὁ ἡγούμενος πεντακοσιάρχης.

Ἔκτακτοι, τούτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, ὡς καὶ τοὔνομα δηλοῖ διότι τάξεως ἐξάριθμοι ἦσαν. εἰσὶ δὲ ε στρατοκήρυξ, σαλπιγκτὴς, σημειοφόρος, ὑπηρέτης, οὐραγός. νῦν δὲ καὶ τοῦ συντάγματος λέγονται, καὶ τῶν ἄλλων. ἔχειν δὲ τούτους τὴν τάξιν ἢ τὸ σύνταγμα. τὸν μὲν ὅπως τῇ φωνῇ σημαίνῃ τὸ πραττόμενον. τὸν δὲ ὅπως τῷ σημείῳ, εἰ μὴ ἡ φωνὴ κατακούοιτο διὰ θόρυβον. τὸν δὲ σαλπιγκτὴν, ὁπότε μὴ δὲ σημεῖα βλέποιεν διὰ κονιορτόν. καὶ τὸν ὑπηρέτην ὥστε ἐπὶ τῶν εἰς τὴν χρείαν παρακομίσαι. τόν γε μὴν ἔκτακτον, οὐραγὸν, πρὸς τὸ ἐπανάγειν τὸν ἀπολειπόμενον εἰς τὴν τάξιν, οἱ τῶν δ ἄνω τυπουμένων κατὰ μέτωπον κάτω τάσσεται.

Ξεναγία, αἱ β. πεντακοσιαρχίαι, ἀνδρῶν ακδ. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι. καὶ χιλίαρχον τὸν ἡγούμενον.

Τετραρχία, αἱ β χιλιαρχίαι, ἀνδρῶν βμη. οἱ δὲ καὶ τέλος ὀνομάζουσι. καὶ τὸν ἡγούμενον τετράρχην. οἱ δὲ τελειάρχην.

Φαλαγγαρχίαι, αἱ β κεραρχίαι ἄνδρες δϟϛ. τοῦτο ἔνιοι καὶ ἀποτομὴν κέρατός φασιν. οἱ δὲ μέρος. πάλαι δὲ καὶ στρατηγία ἐκαλεῖτο, καὶ ὁ ἡγούμενος στρατηγὸς, νῦν δὲ φαλαγγάρχης.

Διφαλαγγία, αἱ β φαλαγγαρχίαι, ἄνδρες ηρϟβ. τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων, καλεῖται ἀλλὰ καὶ κέρας, καὶ ὁ ἡγούμενος κεράρχης.

Φάλαγξ ἡ τετραφαλαγγαρχία, αἱ β φάλαγγες ἀνδρῶν, ις χιλιάδες καὶ τπδ. τοῦτο γὰρ ἡ τελεία καὶ εὔχρηστος φάλαγξ.

Μῆκός ἐστι φάλαγγος τὸ α ἐκ τῶν λόχων σύνταγμα. ὃ μίαν εὐθεῖαν τάσσεται ἀπὸ κέρατος εἰς κέρας διατεῖνον. καλεῖται δὲ τοῦτο καὶ πρόσωπον, καὶ μέτωπον, καὶ στόμα, καὶ παράταξις, καὶ πρωτολοχία, καὶ πρωτοστάται. ὁ δὲ κατόπιν τούτου στίχος, καὶ παράλληλος κείμενος δεύτερον ζυγὸν καλεῖται, καὶ ὁ τρίτος τρίτον, καὶ ἑξῆς ὁμοίως.

Βάθος ἐστὶ φάλαγγος, τὸ μετὰ τὸ μέτωπον ἅπαν. καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος, κατὰ βάθος λέγεται.

Ζυγεῖν, ἐστὶ τὸ ἐπ' εὐθείας τῷ κατὰ μῆκος στίχῳ κεῖσθαι. ἤτοι παραλλήλως ἔχειν.

Στιχεῖν, ἐστὶ τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ. τοῦτο γὰρ καὶ κυρίως στίχος λέγεται.

Διχοτομία φάλαγγος, ἡ εἰς β ἴσα τομή. ταῦτα δὲ τὰ μέρη καλεῖται κέρατα. ὧν τὸ μὲν εὐώνυμον κέρας λέγεται, καὶ οὐρά. τὸ δὲ λοιπὸν δεξιὸν κέρας, καὶ κεφαλὴ, καὶ δεξιὸν ἀκρωτήριον, καὶ δεξιὰ ἀρχή.

Ἄραρος, καὶ ὀμφαλὸς καὶ συνοχὴ, πρᾶγμα ὡς ἔνιοι καὶ στόμα ὡς ἕτεροι ἡ διχοτομία καλεῖται.

Ὁπλῖται, πελτασταὶ, ψιλοὶ, τῆς πεζικῆς εἰσὶ καὶ μαχίμου δυνάμεως. ἔχουσι δὲ διαφοράν. ὁπλῖται μὲν γὰρ λέγονται οἱ βαρυτάτῃ κεχρημένοι ὁπλίσει, κατὰ τὸν μακεδονικὸν τρόπον περιφερέσι, καὶ δόρασι περιμηκεστέροις. ψιλοὶ δὲ κουφοτάτῃ. κέχρηνται γὰρ τόξῳ καὶ ἀκοντίοις καὶ λίθοις, ἐκ σφενδόνης, ἢ ἐκ χειρός. οἱ δὲ πελτασταὶ μέσῃ πως κέχρηνται σκευῇ. ἡ γὰρ πέλτη τε μικρά τίς ἐστιν ἀσπιδίσκη, καὶ κούφη, καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λειπόμενα. εἰσὶ δὲ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί. ἡ μὲν γάρ ἐστιν ἱππική. ἡ δὲ δι' ἁρμάτων. ἡ δὲ δι' ἐλεφάντων. τοῦ δὲ ἱππικοῦ τὸ μὲν ἁπλῶς οὕτω καλεῖται, ἱππεῖς καὶ ἱππικόν. τὸ δὲ ἀμφίπποι. καὶ ἀμφίπποι μὲν οἱ ἐπὶ δυοῖν ἀστρώτοιν συνδεδεμέ-

νοι ὀχούμενοι. οἳ καὶ μεταπηδῶσιν ἐπ' ἄλλον, ὅταν ἡ χρεία καλῇ. τοῦ δὲ κυρίως ἱππικοῦ τὸ μέν ἐστιν κατάφρακτον, ὃ καὶ τοὺς ἵππους, καὶ τοὺς ἱππέας πεφραγμένους παρέχεται. τὸ δὲ ἀκατάφρακτον, τούτων δὲ οἱ μὲν θυρεοὺς ἔχοντες θυρεοφόροι καλοῦνται. οἱ δὲ ἁπλῶς δορατοφόροι. αὐτῶν δὲ οἱ μὲν μόνον ἀκοντίζουσιν, εἰς δὲ χεῖρας τοῖς πολεμίοις οὐκ ἔρχονται. καὶ καλοῦνται ἱππακοντισταί, καὶ διὸ ταραντῖνοι. οἱ δὲ τόξοις, οἳ λέγονται ἱπποτοξόται. ἔτι δὲ οἱ μὲν δορατοφόροι, οἱ δὲ κοντοφόροι, ἢ ξυστοφόροι. καλοῦνται ἐν τοῖς τρισὶν ὀνόμασιν. οὗτοι δέ εἰσιν οἱ ἀπὸ τῶν ἵππων, καὶ πλησίον πολεμίοις δόρασι μαχόμενοι. οἱ δὲ ἀκροβολισταί, οἷον πόῤῥωθεν βάλλοντες. ἔτι τῆς ἱππικῆς δυνάμεως κατάφρακτοι, ἱππακοντισταί, ἐλαφροί, θυρεοφόροι, οἳ καὶ ταραντῖνοι, ἱπποτοξόται.

Πύκνωσις κατὰ παραστάτην, καὶ ἐπιστάτην, τουτέστι, πύκνωσις κατὰ μῆκος, καὶ βάθος. κατέχει δὲ ὁ πεπυκνωμένος ἀνήρ, πήχεις β. ὁ δὲ ἁπλῶς τεταγμένος, πήχεις δ.

Συνασπισμός, ὅταν ἕκαστος ἀνὴρ τῶν ἐν τῇ φάλαγγι, κατέχῃ πῆχυν ἕνα, τοῦτο καλεῖται συνασπισμός.

Πρόταξις ψιλῶν, ὅτε τῶν ἄλλων οὗτοι ἐν πολέμῳ προτάσσονται. ὑπόταξις δέ, ὅτε ὑποτάττονται. προσένταξις δέ, ὅτε καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι, παρ' ἄνδρα τάττονται. λέγεται δὲ καὶ παρένταξις τοῦτο.

Παρεμβολὴ παρεντάξεως διαφέρει. ἡ μὲν γάρ ἐστι τῶν ὁμοίων παρένθεσις. οἷον ὁπλιτῶν παρ' ὁπλίτας, ἢ ψιλῶν παρὰ ψιλούς. παρένταξις δὲ ἡ τῶν ἀνομοίων, οἷον ὁπλιτῶν παρὰ ψιλούς, ἢ ψιλῶν (παρ' ὁπλίτας.

Λόχος, ἀνδρῶν ὀκτώ.

Σύστασις, τέσσαρες λόχοι, ἀνδρῶν λβ.

Πεντηκονταρχία, β συστάσεων, ἀνδρῶν ἑξήκοντα τεσσάρων.

Ἑκατονταρχία, β πεντηκονταρχίαι. ἀνδρῶν ρκη. ἑκάστη δὲ ἑκατονταρχία ἐκτάτους ἔχει πέντε.

Ψιλαγία, β ἑκατονταρχίαι, ἀνδρῶν διακοσίων πεντηκονταέξ.

Ξεναγίαι, β ψιλαγίαι, ἀνδρῶν φιβ.

Σύστρεμμα, β ξεναγίαι, ἀνδρῶν χιλίων κδ.

Ἐπιξενάγια, δύο συστρέμματα, ἀνδρῶν δισχιλίων μη.

Στῖφος, δύο ἐπιξεναγίαι, ἀνδρῶν τετρακισχιλίων ϛϛ.

Ἐπίταγμα δύο στίφη, ἀνδρῶν ὀκτακισχιλίων ϛβ τούτου ἐκτακτοὶ ἀνδρῶν η, ἐπιξεναγοὶ μὲν δύο, συστρεμματάρχαι δὲ οἱ λοιποί.

Ἔμβολον, παρατάξεως ὄνομα τοιᾶσδε, ἔστι δὲ τὸ ἥμισυ τοῦ ῥόμβου τοιοῦδε ὄντος.

Ῥομβοειδές, παράταξις ὀνομάζεται, καὶ σφηνοειδής.

Ἴλη, ἱππέων ἐστὶ ἑξηκοντατεσσάρων.

Ἐπιλαρχία β ἶλαι ἱππέων ρκη.

Ταραντιναρχία, β ἐπιλαρχίαι, ἱππέων διακοσίων πεντηκονταέξ.

Ἱππαρχία, β ταραντῖνοι, ἱππέων πεντακοσίων δώδεκα.

Ἐφιππαρχία β ἱππαρχίαι, ἱππέων χιλίων εἰκοσιτεσσάρων.

Τέλος, δύο ἐφιππαρχίαι, ἱππέων δισχιλίων τεσσαράκοντα ὀκτώ.

Ἐπίταγμα, β τέλη, ἱππέων τετρακισχιλίων ϛϛ.

Κλίσις, ἡ κατὰ ἄνδρα κίνησις.

Κλίσις, ἐπὶ δόρυ ἐστίν, ἡ ἐπὶ τὰ δεξιὰ κλίσις. ἐπανάκλησις δὲ ἡ ἐπὶ τὰ ἀριστερὰ κλίσις.

Ἐπ' ἀσπίδα κλίσις ἐστίν, ἡ ἐπὶ τὰ ἀριστερὰ ὁμοίως.

Μεταβολή, ἐστιν ἡ δὶς ἐπὶ τὸ αὐτὸ γινομένη κλίσις, κατὰ νώτου τὰς τῶν ὁπλιτῶν ὄψεις μετατεθεῖσα. ἧς δύο διαφοραί. ἡ μὲν ἀπὸ τῶν πολεμίων, ἣν καὶ ἐπ' οὐρὰν ὀνομάζουσιν. ἡ δὲ ἐπὶ τοὺς πολεμίους, ἀπ' οὐρᾶς καλουμένη. ἔνιοι δὲ οὕτω καὶ αὐτὴν ὑπογράφουσιν.

Μεταβολή, ἐστι, μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας, εἰς τὴν κατ' οὐρὰν ἐπιφάνειαν. ἢ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν. καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολή, δὶς ἐπὶ δόρυ κλινάντων γίνεται, ἡ δὲ ἐπὶ τοὺς πολεμίους, δὶς ἐπ' ἀσπίδα.

Ἐπιστροφή, ἐστιν, ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παραστάτην, καὶ ἐπιστάτην, καθάπερ ἑνὸς ἀνδρὸς σῶμα, ἐπὶ δόρυ, ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν. καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ, παντὸς τοῦ τάγματος περιενεχθέντος καὶ μεταλαβόντος τόπον μετὰ τὸν ἔμπροσθεν. ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν διαμενόντων ἑκάστῳ τῶν παραστατῶν, καὶ τῶν ἐπιστατῶν.

Ἀναστροφή, ἐστιν ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς, εἰς τὴν προτέραν χώραν. περισπασμὸς δέ ἐστιν ἡ ἐκ δυοῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. ἐκπερισπασμὸς δέ ἐστιν, ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν, τοῦ κίνησις, ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίνηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν. ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν. εἰς ὀρθὸν δέ ἐστιν ἀποδοῦναι, τὸ ἐπὶ τὴν ἐξ ἀρχῆς θέσιν ἀποκαταστῆσαι ἄνδρα ἕκαστον, ὥστε ἐπὶ δόρυ κλίνειν, ἐκ τῶν πολεμίων κελεύσειν τό. εἶτ' αὖθις εἰς ὀρθὸν ἀποδοῦναι δεήσει ἐπὶ τοὺς πολεμίους πάλιν τρέπεσθαι. καλεῖ δὲ τοῦτο καὶ ἐπ' ὀρθὸν ἀποκαταστῆσαι.

Ἐξελιγμῶν διτταί εἰσιν ἰδέαι. ἡ μὲν κατὰ λόχους. ἡ δὲ κατὰ ζυγά. εἴδη δὲ ἀνὰ ἑκάτερον αὐτῶν γ. καλεῖται γὰρ ὁ μὲν μακεδών. ὁ δὲ χορεῖος. ὃν καὶ κρητικόν, καὶ περσικὸν καλοῦσι. τούτων δὲ μακεδὼν ἐξελιγμός ἐστιν, ὁ κατὰ λόχους, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον. ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. χορεῖος δὲ ὁ τὸν αὐτὸν ἐπέχων τόπον τῆς φάλαγγος τῶν ὁπλιτῶν κατὰ μέρος. ἀνθ' ὧν προκατεῖχον τόπων, ἑτέρους μεταλαμβανόντων, τοῦ μὲν λοχαγοῦ, τὸν τοῦ οὐραγοῦ. τοῦ δὲ οὐραγοῦ, τὸν τοῦ λοχαγοῦ. ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἔμπροσθεν ἐπιφανείας, τὴν ὄπισθεν. οἱ δὲ κατὰ ζυγὰ ἐξελιγμοὶ γίνονται. ἐπειδὰν ἀπὸ τῶν ἀποτομῶν τὰ κέρατα καθιστάνειν. τὰς δὲ ἀποτομὰς τῶν κεράτων, χάριν τοῦ τὰ μέσα ἰσχυροποιεῖν.

ἰσχυροποιεῖν. καὶ ὁμοίως τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις. καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς.

Διπλασιάσαι, διχῶς λέγεται. ἢ γὰρ τόπον ἐν ᾧ ἡ φάλαγξ, μένοντος τοῦ πλήθους τῶν ἀνδρῶν, ἢ ἀριθμὸν αὐτῶν. γίνεται δὲ ἑκάτερον διχῶς. ἢ κατὰ λόχον, ἢ ζυγά. ταυτὸν δ' εἰπεῖν, κατὰ μῆκος ἢ κατὰ βάθος. κατὰ μῆκος μὲν οὖν γίνεται διπλασιασμὸς ἀνδρῶν, ὅταν μεταξὺ τῶν προϋπαρχόντων λόχων, παρεμβάλλωμεν ἢ παρεμπλέκωμεν, ἄλλους αὐτοῖς ἀριθμοὺς τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τῆς φαλάγγος, ὥστε πύκνωσιν γενέσθαι μόνον ἐκ τῆς τῶν ἀνδρῶν διπλασιάσεως. κατὰ βάθος δὲ, ὅταν μεταξὺ τῶν προϋπαρχόντων ζυγῶν παρεμβάλλωμεν, ἢ παρεμπλέκωμεν ἄλλα αὐτοῖς ἰσάριθμα. ὥστε κατὰ βάθος πύκνωσιν εἶναι μόνην, κατὰ μῆκος δὲ τόπου. ὁ δὲ διπλασιασμὸς, ὅταν τὴν προειρημένην κατὰ μῆκος πύκνωσιν, μανότητι μετατάττωμεν, ἢ παρεντεθέντι ἐξελίσσωσι κατὰ μῆκος. κατὰ βάθος δὲ γίνεται τόπου διπλασιασμὸς, ὅταν τὴν προειρημένην κατὰ βάθος πύκνωσιν μετατάττωμεν μανότητι. ἢ οἱ παρενθέντες ἐξελίξωσι κατὰ βάθος. ἔνιοι δὲ τοιούτους διπλασιασμοὺς ἀποδοκιμάζουσι, καὶ μάλιστα ἐγγὺς ὄντων τῶν πολεμίων, ἐφ' ἑκάτερα δὲ τῶν κεράτων, τοὺς ψιλοὺς καὶ τοὺς ἱππέας ἐπεκτείνοντες τὴν ὄψιν τοῦ διπλασιασμοῦ, χωρὶς ταραχῆς τῆς φάλαγγος ἀποδιδόασι.

Πλαγία, λέγεται φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον. ὀρθία δὲ λέγεται, ὅταν ἀπὸ κέρατος πορεύηται, πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. καθόλου δὲ παρὰ μῆκος μὲν λέγεται πᾶν τάγμα, ὃ ἂν τὸ μῆκος ἔχῃ πλέον τοῦ βάθους.

Λοξὴ, λέγεται φάλαγξ, ἡ τὸ ἕτερον κέρας ὁπότερον ἂν προαιρῆται, πλησίον τῶν πολεμίων ἔχουσα, καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη. τὸ δὲ ἕτερον ἐν ἀποτάσει δι' ὑποστολῆς ἔχουσα. δεξιὰ μὲν, ἡ τὸ δεξιὸν προβεβλημένη. λαιὰ δὲ ἡ τὸ λαιόν.

Παρεμβολὴ, λέγεται ἐπειδὰν προτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ' εὐθείας.

Πρόσταξις δὲ ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἑκατέρου κατὰ τὸ κέρας αὐτὸ προστιθῇ τι στίφος πάσῃ φάλαγγι, κατ' εὐθὺ τοῦ μετώπου τῆς τάξεως.

Ἔνταξις δὲ ἐπειδ' ἂν τις προαιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῆς φάλαγγος ἐντάσσειν ἄνδρα παρ' ἄνδρα. ἔνιοι δὲ τοῦτο καὶ παρένταξιν ὀνομάζουσιν.

Ἐπαγωγὴ λέγεται, ὅταν τάγματα τάγματι ὑποτάσσηται, οἷον τετραρχίας ἡγουμένης, αἱ λοιπαὶ τετραρχίαι ὑποτάσσονται, ἢ ξεναγίας ἡγουμένης, αἱ λοιπαὶ ξεναγίαι ἐπακολουθῶσι, καὶ καθόλου ὅταν σύνταγμα συντάγματι ἐν πορείᾳ ἕπηται. ὥστε τοῖς τοῦ προειρημένου συντάγματος οὐραγοῖς, τοὺς τοῦ ἑξῆς τάγματος ἡγεμόνας συνάπτειν.

Παραγωγὴ, λέγεται, ὅταν ἡ φάλαγξ πορεύηται, τοὺς ἡγεμόνας ἐκ τῶν εὐωνύμων ἔχουσα ἢ ἐκ τῶν δεξιῶν. κἂν μὲν ἐκ τῶν δεξιῶν μερῶν ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται. ἐὰν δὲ ἐκ τῶν εὐωνύμων, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία, ἐν ἐπαγωγῇ γίνεται. εἴτε πλαισίῳ, ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ τετραπλεύρῳ τάγματι βαδίζεται. μονοπλεύρῳ μὲν ὅταν μοναχόθεν φοβηθῇ. διπλεύρῳ δὲ ὅταν διχόθεν. τριπλεύρῳ δὲ ὅταν τριχόθεν. καὶ τετραπλεύρῳ, ὅταν οἱ πολέμιοι πανταχόθεν ἐπιτίθεσθαι ὑφορῶνται.

Ἀμφίστομος, φάλαγξ καλεῖται, ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι. διφαλαγγία δὲ ἀμφίστομος, ἥτις ἐν τῇ πορείᾳ τοὺς ἡγεμόνας ἔχει, ἐν παραγωγαῖς τεταγμένα ἐξ ἑκατέρων τῶν μερῶν, τοὺς δὲ οὐραγοὺς ἔχουσα ἔξω ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους.

Ἑτερόστομος, φάλαγξ καλεῖται, ἥτις ἂν πορεύηται, τὸ μὲν ἡγούμενον ἥμισυ ἔχουσα ἐν εὐωνύμῳ παραγωγῇ. τουτέστι τοὺς ἡγεμόνας, ἐξ εὐωνύμου, τοῦ δὲ λοιποῦ ἡμίσεως τοὺς ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ.

Ὁμοιόστομος δὲ ἐν πορείᾳ διφαλαγγία ἐστὶν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν αὐτῶν μερῶν ἔχει τεταγμένους, οἷον ἐκ δεξιῶν, ἢ ἐξ εὐωνύμων ἑκατέρας φάλαγγος.

Ἐμβολὴ δὲ καλεῖται, ὅταν ἡ ἀμφίστομος διφαλαγγία, τὰ μὲν ἡγούμενα κέρατα ἀλλήλοις συνάψῃ. τὰ δὲ ἑπόμενα διαστήσῃ.

Κοιλέμβολον δὲ καλεῖται, ἐπειδὰν ἡ ἀντίστομος διφαλαγγία τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ. τὰ δὲ ἡγούμενα, διαστήσῃ.

Πλαίσιον, ὀνομάζεται ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἑτερομήκει σχήματι.

Πλινθία δὲ, ἢ πλινθίον λέγεται, ὅταν τετραγώνῳ σχήματι ταυτὸ τοῦτο πράξῃ. ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου διπλάσιον ἰσόπλευρον καλεῖ.

Πεπλεγμένη φάλαγξ ἐστὶν, ἥτις τοῖς ὑποπίπτουσι τόποις ἀναγκαζομένη ἐξομοιοῦσθαι, τὸ ῥυθμὸν λόγον ἐπέχει, καὶ ποικιλειδὴς ἡ φάλαγξ ὅλη γίνεται, καὶ πολυειδὴς τῇ τάξει.

Ἐπικαμπὴς δὲ, ἐπὰν τὰ μέσα τοῖς πολεμίοις προσπίπτῃ. τὰ δὲ κέρατα ἐκ τῶν ὄπισθεν μερῶν, ὄρθιον ὑφ' ἑαυτὴν ἔχῃ τεταγμένα.

Ἐπαρμονὴ, δὲ ὅταν εἰς ὄγκους πλείονας διαλύηται ταγμάτων.

Κυρτὴ δὲ καὶ κοίλη, καὶ ἐπικάμπιος λέγεται ἡ εἰς τοὐπίσω, καὶ πρόσω τὸ στόμα κοῖλον ἔχουσα, ἢ κυρτὸν, ἢ ἐπικαμπές, καὶ τοῦτο ὡς εἴρηται, ἢ εἰς τοὐπίσω, ἢ εἰς τὸ πρόσω, ὥστε τὰ εἴδη αὐτῶν γίνεσθαι, καὶ ἑκάστης τῶν τριῶν εἰς τοὐπίσω σχηματιζομένης, ἢ εἰς τὸ πρόσω.

Ὑπερφαλάγγισις λέγεται ὅταν ἐξ ἑκατέρων μερῶν τῆς φάλαγγος, ὑπερέχωμεν τῶν πολεμίων.

Ἐπιτισμός, ἐστιν, ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρῆται καὶ ἀντὶ ις τυχὸν ἀνδρῶν ἐλάττους γένωνται.

Ὑπερκέρωσις δὲ, ὅταν ἐκ τοῦ ἑτέρου μέρους μόνον ὑπερέχωμεν τῶν πολεμίων.

ΤΕΛΟΣ.

# ΟΡΒΙΚΙΟΥ ΤΩΝ ΠΕΡΙ ΤΟ ΣΤΡΑΤΕΥΜΑ ΤΑΞΕΩΝ

Ἰστέον δὲ ὅτι τῶν περὶ τὸ στράτευμα τάξεων καὶ ἡγεμονικῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς καλεῖται πεμπὰς, ὁ δὲ ἄρχων πεμπάδαρχος. ὁ δὲ τῶν δέκα, δεκὰς, καὶ δεκάδαρχος. ὁ δὲ τῶν πέντε καὶ εἴκοσι, λόχος, καὶ λοχαγός. ὁ τῶν πεντήκοντα, πεντηκοστὺς καὶ πεντηκόνταρχος. ὁ τῶν ἑκατὸν, τάξις, καὶ ταξίαρχης. ὁ τῶν πεντήκοντα, καὶ διακοσίων, σύνταγμα, καὶ συνταγματάρχης. ὁ τῶν πεντακοσίων, πεντακοστὺς, καὶ πεντακοσίαρχος. ὁ τῶν χιλίων, χιλιοστὺς καὶ χιλίαρχος. ὁ τῶν δισχιλίων, μεραρχία καὶ τέλος, καὶ μεράρχης, καὶ τελάρχης. ὁ τῶν τετρακισχιλίων φάλαγξ, καὶ φαλαγγάρχης. ὁ τῶν μυρίων, μυριοστὺς καὶ μυρίαρχος. αἱ δύο διφαλαγγαρχίαι, τετραφαλαγγαρχία, ἀνδρῶν μυρίων ἑξακισχιλίων, καὶ ὁ ἄρχων τετραφαλαγγάρχης. τὸ μέντοι πεζικὸν ἅπαν στράτευμα ὁμωνύμως τοῖς μερικοῖς τάγμασι λέγεται φάλαγξ. καὶ ὁ ἡγούμενος, στρατηγός. τοῦ δὲ ἱππικοῦ, ἵππαρχος. τὸ δὲ συναμφότερον πεζοί τε, καὶ ἱππεῖς, στρατιά. τῆς δὲ στρατιᾶς τὸ μέτωπον λεγόμενον, ὃ καὶ πρῶτον ζυγὸν καλοῦσι, πρωτοστάται, καὶ ὁ ἡγούμενος πρωτοστάτης. οἱ δὲ παρ᾽ ἑκάτερα ταττόμενοι κέρατα, δεξιόν τε, καὶ εὐώνυμον, οἱ αὐτοὶ καὶ παραστάται, ὁ δὲ ἀρχὸς ὁμωνύμως. οἱ δὲ ὄπισθεν αὐτῶν ὡς ἐπὶ τὸ βάθος ταττόμενοι ἐπιστάται. τὸ δὲ ἐπὶ τούτοις πρὸς τὸ βάθος ἔσχατον ζυγὸν, οὐρὰ καὶ οὐραγὸς, ὁ αὐτὸς δὲ ὀπισθοφύλαξ. ἡ συνήθεια πεντηκοντοφύλακα αὐτὸν καλεῖ. ὁ δέ γε τοῦ παντὸς στρατοῦ ἡγεμόνων, βασιλεύς.

ΤΕΛΟΣ.

# ΧΟΙΡΟΒΟΣΚΟΥ ΠΕΡΙ ΤΟΥ ΕΦΕΛΚΥΣΤΙΚΟΥ Ν, ΗΓΟΥΝ ΤΟΥ ΤΙΘΕΜΕΝΟΥ ΕΝ ΣΥΝΕΠΕΙΑ ΛΟΓΟΥ

διὰ τὸ ἀχασμάδητον.

Ἐν τοῖς ὀνόμασιν ἐφέλκεται τὸ ν̄ αἱ δοτικαὶ τῶν πληθυντικῶν τῶν ὀνομάτων, καὶ τῶν μετοχῶν, φωνήεντος ἐπαγομένου. οἷον, τοῖς αἴασιν ἔδωκα. τοῖς φιλότησιν εὐφραίνομαι. τοῖς βήμασι ἐμπεριπατῶ. τοῖς τύψασιν ἐμωλωπίσθην. καὶ τὰ τοιαῦτα. συμφώνου δὲ ἐπαγομένου οὐ γράφεται τὸ ν̄. τοῖς αἴασι δέδωκα. τοῖς τύπτουσι μωλωπίζομαι.

Καὶ ἐν ἀντωνυμίαις ἐφελκυστικὸν τὸ ν̄. σφίσιν. ὁμοίως καὶ σφῶιν. ὡσαύτως καὶ νῶιν. τὸ ἡμῖν πάντοτε μετὰ τοῦ ν̄.

Ἐν τοῖς ῥήμασι δὲ τρίτα πρόσωπα ἑνικῶν, καὶ πληθυντικῶν ἐν τοῖς ὀφειλομένοις χρόνοις ἐφέλκονται τὸ ν̄. ἔτυψεν ἐκεῖνος. ἔτυπτεν οὗτος. τύπτουσιν ἄλλοι. τύψουσιν ἕτεροι. καὶ τὰ τοιαῦτα.

Καὶ ἐν τοῖς ἀττικοῖς τρίτοις τῶν ἑνικῶν γράψειεν οὗτος. ἀναγνώσειεν ἐκεῖνος.

Τινὲς, δὲ ἐν τοῖς ἐπιρρήμασι τῷ ἄνωθεν. κάτωθεν. οὐρανόθεν. γῆθεν. καὶ τοῖς ὁμοίοις ἐφελκυστικὸν λαμβάνουσι τὸ ν̄. ὅθεν καὶ συμφώνου ἐπαγομένου οὐ γράφουσιν αὐτό. οὐρανόθε τὸ φῶς. γῆθε τὰ ἄνθη. ἡ δὲ συνήθεια πάντοθε μετὰ τοῦ ν̄ τὰ τοιαῦτα γράφει.

ΤΕΛΟΣ.

# ΤΑ ΤΟΥ Η

## ΣΗΜΑΝΤΙΚΑ.

Ὁ ἢ διαζευκτικὸς σύνδεσμος ψιλούμενος, καὶ περισπώμενος, πόσα σημαίνει; τέσσαρα, τὸν δὴ παραπληρωματικὸν σύνδεσμον, ὡς τό, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν. καὶ ἐπίρρημα βεβαιώσεως, ἀντὶ τοῦ ὄντως. ὡς τό, ἦ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός. σημαίνει καὶ ῥῆμα ἀντὶ τοῦ εἶπε, ὡς τό, ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε κρονίων. καὶ ἀπορηματικοῦ συνδέσμου, ὡς τό, ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων ἀτρεΐδαι. ψιλούμενον δὲ καὶ βαρυτονούμενον, πόσα σημαίνει; τέσσαρα, σύνδεσμον διαζευκτικὸν τὸν τὰ ἐναντία ἐν τῇ συντάξει διϊστῶντα. ὡς τό, ἢ νέος, ἢ παλαιός. καὶ ὑποδιαζευκτικὸς δέ ἐστιν ὁ διάφορα πράγματα τιθεὶς, καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει διαιρῶν, οἷον δός μοι χρυσὸν, ἢ ἄργυρον. καὶ διασαφητικόν. διασαφητικὸς δέ ἐστιν, ὅταν δύο προτεθῆται, τὸ ἓν αἱρεῖται. οἷον θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον. ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης. ἔστι δὲ καὶ ἀντὶ τοῦ καθώς, ὡς τό, ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ.

## ΤΑ ΤΟΥ ΩΣ ΣΗΜΑΝΤΙΚΑ.

Τὸ ὡς πόσα σημαίνει; λβ. τί καὶ τί. παραβολήν, ὥς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας. ἀνταπόδοσιν, ὣς αὖτις καθ' ὅμιλον ἔδυ τρώων ἀγερώχων. ὑπερβολήν, ὡς οὐκ αἰνότερον ἄλλο γυναικός. ὁμοίωσιν, ὡς οὐδ' ὀδυσσῆος μεγαλήτορος υἱϊ ἔοικεν. ἀντὶ τοῦ ὁμῶς, ἀλλ' οὐδ' ὣς ἑτάρους ἐρρύσατο ἱέμενός περ. ἀναφοράν, ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. θαυμασμόν, ὡς ἀγαθαὶ φρένες ἦσαν,



ἐχέφρονος πηνελοπείης. ἀντὶ τοῦ οὕτως, ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος ἕκτωρ. τὸν ἵνα σύνδεσμον, ὥς μοι καὶ τὸν δ' ἄνδρα πελώριον ἐξονομήνῃς. τὸ ὅπως, ὡς πείσῃς διῒ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι. τὸ ὅτι, ἔγνως ὡς θεός εἰμι. καὶ τό, ὡς δὴ τοῦ δ' ἕνεκά σφιν ἑκηβόλῳ. τὸ ἐπεί, ὡς ἴδε χῶρον ἔρημον ὅθ' ἕστασαν ὠκέες ἵπποι. τὸ εἴθε εὐκτικὸν ἐπίρρημα, ὡς ὄφειλε θάνατός μοι ἁδεῖν κακός. τὸ διό, ὡς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος. τὸν εἰ συναπτικὸν σύνδεσμον, ὡς ὑμεῖς παρ' ἐμεῖο θοὰς ἐπὶ νῆας ἵοιτε. τὸ ὁμοίως, μνήσομαι ὡς μ' ἀσύφηλον ἐν ἀργείοισιν ἔρεξεν. τὸ ὅμως, ὡς πρῶτον κίκερας δαμάσατο διός, τὸ ὅσον. καὶ κρέας ὡς οἱ χεῖρες ἐχάνδανον. τὸν γε σύνδεσμον, ὡς οὔτοι ποταμῷ δαμήμεναι αἴσιμον ἦεν. τὸ εὐθέως, ὡς ἴδεν ὥς μιν μᾶλλον ἔδυ χόλος. τὸ ὡσαύτως, ὣς δ' αὖ νῦν μοι ἄγαθοὶ θεοί. τὴν βεβαίωσιν, ὡς χάριεν ἐστ' ἄνθρωπος ἀνθρώποις. τὸ ἀλλά, ὡς τούτου ἀλήθειά τις, ἀττικὸν τοῦτο. τὸ ἕως, ὡς οἱ μὲν ἔνθα πολὺν βίοτον, καὶ χρυσὸν ἀγείρων. τὸ οὕτως, ὡς ποτ' ἔην νῦν αὖτε νεώτεροι ἀντιοώντων. τὸ οὐκέτι, ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων. διηγηματικὸν κεφάλαιον, ὡς ἦλθ' ὡς αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον. τὸ λίαν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε. τὸ τοσοῦτον, ὡς φαίνῃ, ἵνα πάντων ἴδριες ἀνδρῶν. τὸ ὠτίον, ὅπερ μόνον ψιλοῦται τῶν ἄλλων πάντων δασυνομένων, καὶ ὀξυνομένων. τὴν ἐπὶ πρόθεσιν, ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.

ΤΕΛΟΣ.

# ΠΕΡΙ ΔΙΑΛΕΚΤΩΝ ἘΚ ΤΩΝ ἸΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΕΧΝΙΚΩΝ.

Διάλεκτός ἐστι γλώττης ἰδίωμα. εἰσὶ δὲ διάλεκτοι πέντε. ἀτθίς. δωρίς. αἰολίς. ἰάς. κοινή. καὶ ἀτθὶς μὲν ἐκλήθη ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός. αἰολὶς δὲ, ἀπὸ αἰόλου τοῦ ἕλληνος. δωρὶς δὲ, ἀπὸ δώρου τοῦ ἕλληνος. ἰὰς δὲ, ἀπὸ ἴωνος τοῦ ξύθου τοῦ ἕλληνος, καὶ κρεούσης τῆς ὀρεχθέως παιδός. κοινὴ δὲ ἐκ τῶν τεσσάρων συνεστῶσα. ἔχει δὲ ἑκάστη διάλεκτος οἰκεῖον ἰδίωμα.

Περὶ διαλέκτων προοίμιον ἕτερον.

διάλεκτοι πέντε. ἰάς. ἀτθίς. δωρίς. αἰολίς. κοινή.

Περὶ ἰάδος.

Ἰὰς δέ ἐστιν, ᾗ κέχρηνται ἴωνες. δοκεῖ δὲ ἀρχαίαν εἶναι αὐτήν. ἴδιον δὲ αὐτῆς ἐστιν. ἀντὶ τοῦ α. τῷ η. κεχρῆσθαι. καὶ τὰς περισπωμένας συλλαβὰς εἰς δύο διαιρεῖν. καὶ ἀντὶ τοῦ. π. τὸ. κ. λαμβάνειν. καὶ ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν, ψιλότητας ἐκφέρειν. καὶ ἐπί τινων λέξεων, τὸ. ι. ὑπεξαιρεῖν. χρῶνται μὲν οὖν τῷ η. ἀντὶ τοῦ. α. οἷον θύρην ἀντὶ τοῦ θύραν. καὶ ἡμέρην ἀντὶ τοῦ ἡμέραν. καὶ ὠφελείην ἀντὶ τοῦ ὠφέλειαν. τὰς δὲ περισπωμένας συλλαβὰς, εἰς δύο διαιροῦσιν. ἀντὶ τοῦ ποιεῖν γὰρ, ποιέειν λέγουσιν. ἀντὶ τοῦ. π. τὸ κ. λαμβάνουσι. τὸ γὰρ πῶς, κῶς λέγουσιν. ἀντὶ τοῦ δασυνουσῶν συναλοιφῶν ψιλότητας ἐκφέρουσιν, ὅτ᾽ ἂν λέγωσιν, ἀντὶ τοῦ ἐφίππων, ἐπίππων, καὶ ἐφορᾶν, ἐπορᾶν. ἐπὶ δὲ τινῶν λέξεων τὸ. ι. ὑπεξαιροῦσιν. ἀντὶ τοῦ πονεῖσθαι, πονέεσθαι λέγοντες. ἰὰς δὲ ἀπὸ ἴωνος τοῦ ἀπόλλωνος, καὶ κρεούσης τῆς ὀρεχθέως θυγατρός.

Περὶ ἀτθίδος.

Ἀτθὶς δέ ἐστι διάλεκτος, ᾗ κέχρηνται ἀθηναῖοι. ἴδιον δὲ αὐτῆς ἐστι, κατακόρως κεχρῆσθαι ταῖς συναλοιφαῖς, καὶ τὰς λέξεις ἀδιαιρέτως ἐκφέρειν. ἔτι δὲ καὶ τὸ. τ. καὶ. ρ. ἀντὶ. σ. λαμβάνειν. καὶ τὸ. υ. ἀντὶ τοῦ. ε. καὶ ἀντὶ τοῦ. σ. τὸ. ξ. ταῖς μὲν οὖν συναλοιφαῖς, κατακόρως χρῶνται. ὅτ᾽ ἂν λέγωσι θοἰμάτιον ἀντὶ τοῦ ἱμάτιον. καὶ φροίμιον ἀντὶ τοῦ προοίμιον. ἀδιαιρέτως δέ τινας τῶν λέξεων ἐκφέρουσιν. ὅτ᾽ ἂν λέγωσι πατρῷον, ἀντὶ τοῦ πατρώϊον. καὶ νηρῇδα, ἀντὶ τοῦ νηρηΐδα. καὶ τὸ. ρ. καὶ. τ. ἀντὶ τοῦ. σ. λαμβάνουσι. τὴν θάλασσαν γὰρ, θάλατταν. καὶ τὸ πράσσειν, πράττειν. πάλιν ἀντὶ τοῦ θαρσαλέως. ἄρσενα. θαρραλέως. ἄρρενα λέγουσιν. ἀντὶ τοῦ ε τὸ υ λαμβάνουσιν.

# DE GRAECARVM PROPRIETATE LINGVARVM EX SCRIPTIS DE ARTE IOAN. GRAMMATICI.

Dialectus est linguæ proprietas. Sunt autem dialecti quinq;. Attica. Dorica. Aeolica. Ionica. Cōmūnis & Attica quidem uocata est, ab Atthide Cranai filia. Aeolica uero ab Aeolo Hellenis filio. Dorica utem a Doro hellēis filio. Iōica āt ab Iōe filio Xuthi q̄ fuit Hellēis, & Cretusæ Erechthei filiæ. Cōis āt, q̄ ex his q̄tuor cōstat. habet āt unaquæq; dialectus proprium Idiomata.

De dialectis procemium alterum.

Dialecti qnq;. Ionica. Attica. Dorica. Aeolica. cōis.

De Ionica lingua.

Ionica aūt est, q̄ usi sūt Iones. hāc aūt ātiquā esse constat. Proprium autem ipsius est pro α. η. uti, & circunflexas syllabas in duo diuidere, & pro π κ accipere, & pro aspiratis. collisionib. tenuiter proferre, & quibusdam dictionib. ι. auferre. utuntur igitur η pro α, ut Ianuam pro ianuam, & diem pro diem. & utilitatem pro utilitatem. Circunflexas autem syllabas in duo diuidunt. pro facere enim facere dicunt. pro π κ accipiunt. nam quomodo, qūo dicunt. pro aspiratis collisionib. tenuiter proferunt, cum dicunt pro in equis, in equis. & īspicere, inspicere. qbusdā dictionib. ι auferunt. pro laborare, laborare dicentes. Ionica autem ab Ione Apollinis filio, & Creusa Erechthei filia.

De Attica lingua.

Attica uero est dialectus, qua usi sunt Athenienses. Peculiare aūt ipsius ē affatī uti contractionibus, & dictiones inseparabiliter proferre. tum uero & τ & ρ pro σ accipere. & υ pro ε. Et pro σ, ξ. Contractionib. igitur abunde utuntur, cum dicunt uestis, pro uestis. & procœmium, pro procœmium. cōiunctim uero nōnullas dictiōes pferunt, cum dicunt paternum, pro paternum, & nereida, pro nereida. & ρ & τ pro σ accipiunt. mare enim mare, & facere, facere. Rursum pro audenter. masculum. audenter, masculum dicunt. pro ε υ accipiunt,

ὅτ' ἂν λέγωσι. τοὔνδυμα, τὸ ἔνδυμα. τοὔγκλιμα, τὸ ἔγκλιμα. τοὔλαιον, τὸ ἔλαιον. τοὐπίσημον, τὸ ἐπίσημον. τοὖργον, τὸ ἔργον. ἀντὶ δὲ τοῦ σ τὸ ξ, ὅτ' ἂν λέγωσι ξύμπας, ἀντὶ τοῦ σύμπας. καὶ ξυμφοράν τοῦ συμφοράν. καὶ ξυνένηκεν, ἀντὶ τοῦ συνένηκεν. καὶ ξύμβολον, ἀντὶ τοῦ σύμβολον. καὶ ξυνθήκη, ἀντὶ τοῦ συνθήκη. ἐκλήθη δὲ ἀτθὶς, ἡ τῶν ἀττικῶν ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός.

## Περὶ δωρίδος.

Δωρὶς δὲ κέκληται διάλεκτος, ᾗ κέχρηνται δωριεῖς. ἴδιον καὶ αὐτῶν ἐστιν, ἀντὶ τοῦ η, τῷ α χρῆσθαι. καὶ ἀντὶ τοῦ ω, τῷ α. καὶ ἀντὶ θηλυκῶν ὀνομάτων ἑνικῶν, πληθυντικὰς πτώσεις ἐκφέρειν. καὶ ἀντὶ τῆς ου διφθόγγου τῷ ω χρῆσθαι. καὶ ἀντὶ τῆς ει διφθόγγου, τὸ η παραλαμβάνειν. καὶ ποτὲ ἀντὶ τοῦ θ, τὸ σ. καὶ ἐπί τινων λέξεων, τὸ ι ὑπεξαιρεῖσθαι. ἀντὶ μὲν οὖν τοῦ η τῷ α χρῶνται, ὅταν λέγωσι τὸ ἅλιον ἀντὶ τοῦ ἥλιον. καὶ ἁμέραν, ἀντὶ τοῦ ἡμέραν. καὶ ἁ κύπρις ἀντὶ τοῦ ἡ κύπρις, καὶ ἁδὺ ἀντὶ τοῦ ἡδύ. ἀντὶ δὲ τοῦ ω τῷ α χρῶνται, ὅταν λέγωσι μουσῶν μουσᾶν. θυρῶν θυρᾶν. ἀντὶ δὲ ἑνικῶν θηλυκῶν ὀνομάτων πληθυντικὰς πτώσεις ἐκφέρουσιν, ὡς ὅταν λέγωσι καλὴν, καλάς. σοφὴν, σοφάς. ἀντὶ δὲ τῆς ου διφθόγγου τῷ ω χρῶνται, ὅταν λέγωσι μούσας μώσας. ἀντὶ δὲ τῆς ει διφθόγγου τῷ η χρῶνται, ὅταν λέγωσιν ἀντὶ τοῦ ἰδεῖν, δραμεῖν, λαβεῖν. ἰδῆν, δραμῆν, λαβῆν. ἀλλὰ καὶ λάβεν, ἀντὶ τοῦ λαβεῖν. καὶ δράμεν ἀντὶ τοῦ δραμεῖν. καὶ ἔλθεν, ἀντὶ τοῦ ἐλθεῖν λέγουσι. δωρὶς δὲ ἐκλήθη, ἀπὸ δώρου τοῦ ἕλληνος παιδός.

## Περὶ αἰολίδος.

Αἰολὶς δὲ λέγεται διάλεκτος, ᾗ κέχρηνται αἰολεῖς. ἴδιον δὲ αὐτῆς ἐστὶ τὰς ὀξυτόνους λέξεις ἀντιστρέφειν. καὶ τισὶν ὀνόμασι θηλυκοῖς αἰτιατικῆς πτώσεως, τὸ ι προστιθέναι. καὶ ποτὲ ἀντὶ τοῦ υ, τῷ ω χρῆσθαι. καὶ ἀντὶ τοῦ ο, τῷ ω. καὶ τὰ ἀρχόμενα ἀπὸ φωνηέντων, ψιλῶς ἐκφέρειν. καὶ ἀντὶ τῆς ου διφθόγγου, τὸ η τάττειν. καὶ προστιθέναι ἐνίων τῶν λέξεων τοῦ ρ τὸ β. ἀντὶ δὲ τῶν δύο μμ, δύο ππ λαμβάνειν. Καὶ τὰς λέξεις μὲν ἀντιστρέφουσι τὰς ὀξυτόνους, τὸ ποταμὸς πόταμος λέγοντες. καὶ τὸ καλὸς κάλος. Τισὶ δὲ ὀνόμασι θηλυκοῖς αἰτιατικῆς πτώσεως τὸ ι προστιθέασιν. ὅταν λέγωσιν ἀντὶ τοῦ καλὰς, καλαῖς. σοφὰς, σοφαῖς. ἀντὶ δὲ τοῦ υ, τὸ ω χρῶνται. ὅταν λέγωσι λειπῶσαι ἀντὶ τοῦ λειποῦσαι. καὶ ἰδῶσαι, ἀντὶ τοῦ ἰδοῦσαι. καὶ λαλῶσαι, ἀντὶ τοῦ λαλοῦσαι. δὲ τοῦ ο τῷ ω χρῶνται. ὅταν λέγωσιν ὤμοιον. ἀντὶ τοῦ ὅμοιον. τὰ δὲ ἀρχόμενα ἀπὸ φωνηέντων ψιλῶς ἐκφέρουσιν, ὅταν τὸ ἡμέρα ψιλῶσι. καὶ τὸ ἥλιος, καὶ ὑμεῖς. ἀντὶ δὲ τῆς ει διφθόγγου τῷ η χρῶνται, ἀντὶ τοῦ κυθαίρειαν,

cum dicunt indumentū, pro indumētū. crimen, crimen. oleum, oliuum, insigne, insigne. opus, opus. Pro σ uero ξ, cum dicunt uniuersus, pro uniuersus. & calamitatē, pro calamitatem. & intellexit, pro intellexit. & signum pro signum. & fœdus pro fœdus, uocata est aūt Attica, q̄ atticorū est, ab Atthide Cranai filia.

## De lingua dorica.

Dorica autem uocata est Dialectus, qua usi sunt Dores. proprium ipsius est pro η α uti. & pro ω magno α. & pro fœmininis noīb. singularib. plurales casus proferre. & pro ου diphthongo ω uti. & pro ει diphthongo η adsumere. & interdum pro θ, σ. & quibusdam dictionib. ι detrahere. Pro η igitur α utuntur, cum dicunt solem, pro solem. & diem, pro diem. & uenus, pro uenus. & suaue, pro suaue. pro ω autem α utuntur, cum dicunt musarum, musarū. Ianuarū, rū. Pro singul. aūt fœminis noīb. plurales casus proferunt, dicēdo pulchrā, pulchras. doctā, doctas. Pro ου autem diphthongo ω utuntur dicendo musas mosas. Pro ει autem diphongo η utuntur, cum dicunt prouidere, currere, accipe, uidere, currere, accipe. Sed & accipere pro accipere. & currere pro currere, & uenire, pro uenire dicunt. Dorica aūt appellata est a Doro Hellenis filio.

## De lingua Aeolica.

Aeolica autem dicitur Dialectus, qua usi sunt æoles. proprium aūt ipsius est acutas dictiōes inuertere, & q̄busdā noīb. fœmininis accusatiui casus addere. & aliquando pro υ, ω uti & pro ο, ω. & incipientia a uocalib. tenuiter proferre. & pro ει diphthongo η ponere. & ponere in dictionib. ante ρ, β. pro gemino μμ, geminū ππ assumere. & dictiōes q̄dē inuertunt acutas, fluuius, fluuius dicentes, & pulcher, pulcher. Quibusdā autem noīb. fœminis actī casus ι apponunt, cum dicunt pro pulchras, pulchras. sapiētes, sapiētes. p υ uero ω utūt̄. cū dicūt reliquētes, relīq̄ntes. & uidentes, pro uidentes. & nugantes, pro nugantes. Pro ο ω utuntur, cum dicunt simile, pro simile. Inchoantia uero a uocalib. tenuiter proferunt, cum dies attenuant, & Sol, & uos. pro ει autem diphthongo, η utuntur, Pro cytherean,

κυθαίρηαν

κυθαίρηαν λέγουσι. καὶ ἀντὶ τοῦ μαθεῖν, καὶ ἐλθεῖν, μαθῆν καὶ ἐλθῆν. προστιθέασι δὲ ἐπί τινων λέξεων πρὸ τοῦ ρ τὸ β, τὰ ῥόδα γὰρ βρόδα λέγουσι. καὶ τὰ ῥάκη, βράκη. ἀντὶ δὲ τῶν δύο μμ δύο ππ λαμβάνουσι, τὰ ὄμματα, ὄππατα λέγοντες. ἔστι δέ τινα ἰδίως παρ' αὐτοῖς σχηματιζόμενα. ἀντὶ γὰρ τῆς μετὰ προθέσεως, τὴν κατὰ παραλαμβάνουσι. ἔσθ' ὅτε δὲ καὶ τὴν βουλὴν βωλὴν λέγουσι. καὶ τὴν γῆν, γᾶν. καὶ τὸν ἀγῶνα, ἄγωνον. τὸν δὲ πρίαμον πέρραμον. ἐκλήθη δὲ αἰολὶς, ἀπὸ αἰόλου τοῦ ἕλληνος παιδός.

Περὶ κοινῆς.

Οἱ μὴ βουλόμενοι τὴν κοινὴν καταριθμεῖν διάλεκτον ταῖς προειρημέναις τέσσαρσιν, αἰτιῶνται τούτῳ τῷ τρόπῳ. οὐ δὲ γάρ φασιν ἔχειν ἴδιον. ἀλλ' ὥσπερ τετραφάρμακος δύναμις ἐκ τεσσάρων συνεστῶσα, τετραφάρμακον λέγεται, οὐδὲν ἴδιον ἔχουσα, οὕτω καὶ ἡ κοινὴ διάλεκτος ἐκ τεσσάρων συναρμοσθεῖσα, οὐκ ὀφείλει συναριθμεῖσθαι ταύταις. τῶν δὲ τὴν κοινὴν διάλεκτον εἰσηγησαμένων, οἱ μὲν λέγουσιν, ὅτι πάσαις συμβέβληται ταῖς διαλέκτοις ταῖς ὁμοφώνοις οἷον φίλος, νὺξ, καὶ τὰ τοιαῦτα. οἱ δὲ, ὅτι οὐκ ἔστιν ἔχουσα τύπον, ἀλλ' ἐκ διαφόρων λέξεων συνηθροισμένη. μεταπτώσεις δὲ αὐτῆς, οὐχ εὑρίσκονται. ἰάδι ἔγραφον ὅμηρος. ἀτθίδι ἀριστοφάνης. δωρίδι θεόκριτος. αἰολίδι ἀλκαῖος. κοινῇ πίνδαρος.

Ἑτέρως περὶ διαλέκτων.

Διάλεκτός ἐστι λέξις ἴδιον χαρακτῆρα τύπου ἐπιφαίνουσα. ἢ λέξις, ἴδιον ἢ κοινὸν ἐπιφαίνουσα χαρακτῆρα. διάλεκτοι δέ εἰσιν, εἰ καὶ τὴν κοινήν τις καταριθμοῖ, πέντε. ἰάς. ἀτθίς. δωρίς. αἰολίς. κοινή. ἡ γὰρ πέμπτη ἴδιον οὐκ ἔχουσα χαρακτῆρα, κοινὴ ὀνομάσθη. ἤτοι ὅτι τοῖς κοινῇ τῶν πασῶν χαρακτῆρσι χρῆται, καὶ ἐκ τῶν τεσσάρων καθέστηκεν, ἢ ὅτι κοινῶς αὐτῇ πάντες χρῶνται. ἢ διότι ἐκ ταύτης ἄρχονται, ὡς ταύτης οὔσης, πᾶσαι. ἀναπεμπτέον δὲ, ταύτην μὲν, ὡς πρὸς κανόνα. τὰς δὲ λοιπὰς, πρὸς ἰδιότητα. τὰς μὲν οὖν βαρβάρους ἐν πλήθει οὔσας, καὶ ἀπεριλήπτους, οὐκ ἔστι ῥᾴδιον παραδοῦναι.

Ἀλλ' ὥστε οὐ δὲ λεκτέον αὐτὰς διαλέκτους, ἀλλὰ γλώσσας. τὰς δὲ ἑλληνικὰς συνέβη καλεῖσθαι, ὡς ἕλληνος τοῦ διὸς μὲν υἱοῦ, κατ' ἐπίκλησιν δὲ, δευκαλίωνος, τοὺς κατὰ τὴν ἑλλάδα τόπους κατεσχηκότος. πάσας μὲν συνέβη λέγεσθαι ἑλληνικὰς φωνὰς, κατ' εἶδος δὲ τὰς προσωνυμίας, ἀπὸ τῶν ἐκείνου παίδων λαβεῖν. διασπαρέντων γὰρ τούτων, εἰς πλείονας τόπους, καὶ τὴν αὐτὴν φωνὴν οὐκ ἔτι φυλαξάντων, ἀλλὰ τῇ τῶν τούτων μεταβολῇ ἅμα καὶ τὴν φωνὴν μεταβαλόντων, συνέβη διαλέκτους λέγεσθαι. ἀπὸ μὲν οὖν δώρου τοῦ

cytherean dicunt, & pro didicisse, & ire, didicisse, & ire. Ponunt autem in quibusdam dictionib. ante ρ β, rosas. n. brosas dicunt. & pānos laceros, pannos laceros. p gemino nero μμ geminū ππ accipiunt, oculos, oculos dicētes. Sunt autē quædam, quæ peculiariter apud eos formantur. nā ꝓ cū præpositione, contra accipiunt. Aliquando & consilium, consilium dicunt. & terram, terram. & certamen, certamen. Priamū aūt Perrhamū. Appellata est āt æolica lingua ab Aeolo Hellenis filio.

¶De communi lingua.

¶Qui nolunt cōmunem adnumerare Dialectum prædictis quatuor, arguunt hoc modo. neque enim aiūt habere propriū, sed sicut quadripharmacos uis ex quatuor constans, quadripharmacum dicitur, nihil proprii habens, sic & cōmunis dialectus ex quatuor coaptāta non debet adnumerari his. Ex iis aūt, qui cōmunē dialectum introducunt, alii dicunt, quoniam omnibus se se insinuat dialectis eiusdē uocis, ut amicus, nox, & huiusmodi. Alii non habere formam, sed ex uariis dictionibus congregatā. decidentiæ aūt ipsius non inueniuntur. Ionica scripsit Home. Attica Aristophanes. Dorica Theocritus. Aeolica Alcæus. communis Pindarus.

¶Aliter de Dialectis.

¶Dialectus est dictio ꝓpriæ insigne formæ ondēs. uel dictō peculiarē, uel cōem ostendens notam. Dialecti autem sunt, si & cōem qs adnumerauerit, qnq;. Ionica. Attica. Dorica. Aeolica, cōis. nā qnta pronō habēs notam, cōis noīata est. (priam. uel quia communiter omnium notis utitur, & ex quatuor constat, uel quia communiter ea omnes utuntur. uel qa ex hac incipiunt, tāquā ea subiecta omnes. Remittedū autē hanc quidē, quasi ad regulam. reliquas uero ad proprietatē. Itaque barbaras ī multitudine existētes, & īcopræhensibiles, non est facile tradere. (hensibiles, Alioqui neq; dicendum ipsas dialectos, sed līguas. Hellēicas aūt cōtingit appellari. Quod cū Hellē Iouis quidē filius, cognomento autem deucalionis, loca per Græciam occupasset, omnes quidē contigit dici Hellanicas uoces, Specialiter autem denominationes ab illius filiis accepisse. Dispersis enim his in plura loca, atque eandē uocē non amplius seruātibus, sed cū locorum mutatione una uocem quoq; mutantibus. accidit dialectos dici. A doro ergo

δευκαλίωνος, καὶ πύῤῥας παιδὸς, μετοικήσαντας εἰς τοὺς περὶ τὸν παρνασσὸν τόπους καὶ αἰσωπὸν, δωριεῖς ἀπ' αὐτοῦ προσαγορευθῆναι πάντας συνέβη, καὶ τὴν διάλεκτον δωρίδα. ᾗ πάνυ χρῶνται ῥόδιοί τε καὶ κρῆτες καὶ πελοποννήσιοι, καὶ σικελοὶ, καὶ λίβυες, καὶ οἱ τὴν παλαιὰν ἤπειρον οἰκοῦντες.

Ἀπὸ δὲ αἰόλου, τοῦ ἕλληνος παιδὸς, καὶ πύῤῥας αἰολὶς ἐκλήθη. οὗτος γὰρ δέκα πόλεις κτίσας· τήν τε χώραν αἰολίαν, καὶ τὴν διάλεκτον αἰολίδα προσηγόρευσεν.

Η δὲ ἰὰς, ἀπὸ ἴωνος τοῦ ξύθου τοῦ ἕλληνος, καὶ κρεούσης, τῆς ἐρεχθέως παιδὸς, ἐκλήθη. οὗτος γὰρ δοκοῦσαν τῇ ἀτθίδι τὴν αὐτὴν εἶναι διάλεκτον μεταναστὰς, καὶ κτίσας πόλεις. ιγ, ἀφ' ἑαυτοῦ ἰάδα προσηγόρευσεν. αἱ δὲ πόλεις, αὗται. κλαζομεναί. λέβεδος. φωκαία. πριήνη. μιλήτος. μυκάλη. ἐρυθρά. τίος. σάμος. κολοφῶν. ἔφεσος. χίος. σμύρνα.

Ἀτθὶς δὲ ἐκλήθη ἤτοι ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός. (ἐγένετο δὲ οὗτος, τῆς ἀττικῆς βασιλεύς.) ἤτοι ἐκλήθη οὕτως ἀπὸ τοῦ παράκτιος εἶναι ἀκτική τις οὖσα.

Νοεῖται δὲ ἡ διάλεκτος τριχῶς. κατὰ ὅλου ὀνόματος ἀλλαγήν. κατὰ μέρος τι. κατὰ συμβεβηκός. κατὰ ὅλου ὀνόματος ἀλλαγὴν οὕτως. ὡς οἱ αἰολεῖς τὸ γυναικεῖον ἔνδυμα, καταγωγὴν καλοῦσιν. οἱ δὲ ἀττικοὶ τὴν ἐφ' ἡμῶν τηλίαν, ἀλευρότησιν καλοῦσιν, καὶ τὰ ὅμοια. κατὰ δὲ μέρος τι. ἤτοι κατὰ πρόσθεσιν, ὡς οἱ αἰολεῖς τὰ ῥόδα, βρόδα λέγουσι. ἢ κατὰ ἀφαίρεσιν. ὡς οἱ δωριεῖς, τὸ φέρειν, καὶ λέγειν, φέρεν, καὶ λέγεν λέγουσι. ἢ κατὰ μετάθεσιν, ὡς δίφρον, δρίφον λέγουσι. κατὰ δὲ τὸ συμβεβηκός. ἤτοι κατὰ προσῳδίαν, ἢ κατὰ πνεῦμα λεγόμενον παρ' ἡμῖν, ἀλλοιοῦσι. κατὰ μὲν προσῳδίαν θέλουσιν. ἀττικοὶ μὲν, ἱκάνω ἵκανον. ἐλαύνω ἔλαυνον. δωριεῖς δὲ τὸ πάντως, παντῶς, λέγουσι, καὶ οὕτως οὑτῶς. καὶ τὰ ὅμοια διαιροῦμεν τοῖς ἰδιώμασι τῶν κατὰ μέρος διαλέκτων. κατὰ δὲ πνεῦμα, ὡς ἀττικοὶ τὸ παρ' ἡμῖν ἥκιστα ψιλῶς ὂν, αὐτοῖς δασέως προφέρονται.

Περὶ τῶν κατὰ μέρος ἀτθίδων διαλέκτων.

Η ἀτθὶς τρέπει τὸ σ, πῆ μὲν εἰς τὸ τ. πῆ δὲ εἰς τὸ ξ. τὴν γὰρ θάλασσαν, θάλατταν λέγει, καὶ τὸ σεῦτλον τεῦτλον. καὶ τὴν συμφορὰν, ξυμφορὰν. καὶ τὸ σύμβολον, ξύμβολον, τρέπει. δὲ τὸ σ εἰς τὸ ξ, ἐπὶ τῆς συν προθέσεως, καὶ μόνως.

Αἰεὶ τὰς εἰς εις πληθυντικὰς εὐθείας ἀπὸ τῶν εἰς ευς ἀρσενικῶν γενομένας, διὰ τοῦ ης προφέρεται. οἷον γονεῖς γονῆς, βασιλῆς, οἱ βασιλεῖς.

Τὰ εἰς αος λήγοντα ἀρσενικὰ προπαροξύτονα, ἢ ὀξύτονα, διὰ τοῦ εως προφέρεται. οἷον μενέλαος, μενέλεως. λαὸς, λεώς. ναὸς, νεώς.

Τὸ ι ἐν ταῖς λέξεσι προστίθησιν. οἷον, νυνί. του-

deucaliõis, & Pyrrhæ filio, illos, q̃ migrarunt in loca circa parnassum, & æsopum, dorienseis ab ipso appellari omneis contigit, & dialectum doricã, qua ualde utũt̃ rhodiiq;, & cretẽses, & peloponnesii, & Siculi, & libyci, & antiquam Epeirum habitantes.

Ab Aeolo autem Hellenis filio, & Pyrrhæ æolica uocata est. hic. n. cũ decẽ urbes condidisset, & regionem æoliam, & dialectum æolicam appellauit.

Iõica aũt ab Iõe Xuthi, q fuit Hellenis, & Creusæ Erechthei, filia, uocata est. hic. n. linguã, quæ eadem, atq; Attica uidebat̃, cũ cõmigrasset, & cõdidisset. xiii. urbes ab se Ionicã appellauit. urbes aũt hæ (clazomene. lebed⁹. phocæa. priene. Milet⁹. Mycale. erythra. Tius. Sam⁹. Colophõ. Ephesus. chius. Smyrna.

Attica autem uocata est uel ab Atthide Cranai filia (fuit autem is Atticæ Rex) uel uocata est sic, eo quod litoralis esset, quasi acticam dixeris.

Pro η, τὸ ε uel τὸ α cõe est his, atq; doricisib. & mars qdé, mars. martiũ, martium. η auté, hecubam, hecubam. portã, portam. iunoné, né. intellectũ, ctũ. Aurora, ra. deceptioné, né. iniuriã facere, iniuriam facere.

Pro θ. φ. contunditur, contunditur.

Pro μ. π. mecum, mecum. oculi, oculi.

Pro ξ ponunt κ, & σ hospes, hospes. accipiter, accipiter.

Pro ο υ, umbilicus, umbilicus. uix, uix. simile, simile.

Interdum & ε. ad te, ad te. uel α. quot, quot.

Pro π, μ. calcas, calcas. calcans, calcans.

Ἀντὶ δὲ

Ἀντὶ δὲ τοῦ ππ, δύω. σσ. ἐμπίπτειν, ἐμπίσσειν.

Ἀντὶ δὲ τοῦ. σ. τὸ. τ σὺ, τύ. εἰς σὲ, εἰς τέ.

Ἀντὶ τοῦ. τ, τὸ. π. στολὴν, πτολήν. σταλείς, πταλείς. τέτραπται, πέπραπται.

Ἀντὶ δὲ τοῦ. υ. τὸ. ι. ὑψηλὸν, ἰψηλόν. ὑψόθεν ἰψόθεν. ὕπαρ, ἴπαρ.

Ἀντὶ δὲ τοῦ. χ, φ. αὐχένα, αὐφένα.

Ἀντὶ δὲ τοῦ. ψ. τὸ π. καὶ. σ. πέλοψ, πέλοπς. ἄραψ, ἄραπς.

Ἀντὶ δὲ τοῦ. ω. τὸ. ο. ὥρα, ὅρα. ὠτειλὴ, ὀτειλή.

Ὅσα δὲ διὰ τῆς. ει. διφθόγγου παρ' ἡμῖν λέγεται, αὐτοὶ διὰ μόνου τοῦ ε πολυπλασιαζόμενοι προφέρονται. ποιοῦσι δὲ ἐκ τοῦ μόνου δύο σύμφωνα. χεῖρες, χέρρες. ἱμείρων, ἱμέρρων. ὠτειλὰς, ὀτελλάς. εἵματα, ἕμματα. ἡμῖν, ἄμμιν. ὑμεῖς, ὔμμες. κτεῖναι, κτέννα. ἤπειρον, ἄπερρον.

Καὶ ἔτι τὴν ει δίφθογγον πολλάκις εἰς τὴν οι ποιοῦσιν. ὄνειρον, ὄνοιρον. τὸν δὲ οἶνον, φοῖνον.

Ἔθος δέ ἐστιν αὐτοῖς τῶν φωνηέντων προτιθέναι τὸ δίγαμμα. λέγουσι δὲ τὰ πλείονα διπλασιάζοντες. οἵτινες, οἵττινες. σελήνη, σελλάνα. πρόσωπα. προσσωπα. κατέπεσον, κάππεσον. ὁπόθεν, ὁππόθεν. κατὰ δὲ, καδδέ. ὅτι ὅττι.

Τὰ δὲ ἀρχόμενα παρ' ἡμῖν ἀπὸ τοῦ. ρ. αὐτοὶ προτιθέασι τὸ. β. ἵνα ψιλὸν γένηται. ῥόδα, βρόδα. ῥαδάμανθυς, βραδάμανθυς. ῥυτῆρες, βρυτῆρες.

Ἰδίως δὲ οὗτοι ὅσα παρ' ἡμῖν δασύνεται, ἢ ὀξυτονεῖται, ψιλῶς λέγουσι, καὶ βαρυτόνως. ὅσιος. οὗτος. ὁρῶ. ὅρμος.

Τηροῦσι δὲ καὶ τὴν ψιλότητα ἐν ταῖς συναλοιφαῖς. καθήκει, κατήκει. ἀφῆκεν, ἀπῆκεν, ἀφείλκυσεν, ἀπείλκυσεν.

Βαρυτονοῦσι δὲ, οὐ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ τὰ ἄρθρα, ὅταν ὀνομάτων τάξιν ἐπέχῃ. σὸς, σός. τὸ σὸν τόσον. ἡ σὴ ἥση. τῆς σῆς. τῆσης.

Ὅταν δὲ ἀντωνυμιῶν ἐκφέρουσι, περισπῶσιν.

Περισπῶσι δὲ ὡς ἐπίπαν τὰ μονοσύλλαβα. ἢ εἰς. αξ. λήγοντα. ῥῶξ. πτῶξ. δρῶψ. ἢ εἰς. ους. χροῦς, ῥοῦς, θροῦς, βοῦς, νοῦς, χλῶ, ζοῦς. (ἐπῶν.

Τὰ δὲ δισύλλαβα ὀξυτόνως παρ' ἡμῖν λεγόμενα, αὐτοὶ βαρύνουσι. σόφος. κάλος. λεῦκος. ὄξυς. κόπις. θύρσος. ἄκις. ἄσπις. βρῶμος. θράχυς. θῦμος. σκλῆρος. χῶλος.

Ἔθος δὲ ἔχουσι καὶ τὰ προσηγορικὰ βαρύνειν. εἰρήνη, ὥρα, ἥμερα. καὶ τὰ κύρια. ἀφροδίτα, ἥρα, ἑλένα.

Ὅσα δὲ ἡμεῖς εἰς. ις. θηλυκὰ διὰ τὸ. δ. κλίνομεν, ἀρτέμιδος, θέτιδος, μήνιδος. αὐτοὶ χωρὶς τοῦ. δ. λέγουσιν. ἀρτέμιος, θέτιος, μήνιος.

Τῶν δὲ εἰς. ης. ὀνομάτων, ὧν ἡ κλητικὴ εἰς. ες. δίχα τοῦ. σ. λέγουσι. Σώκρατε. Ἀρι-

Pro ππ. duo. σσ. incidere, incidere.

Pro. σ. τ. tu, tu. in te, in te.

Pro τ, π, stolam, stolam. missus, missus. nutritus est, nutritus est.

Pro υ autem ι, altum, altum. desuper, desuper. uere, uere.

Pro. χ. φ, ceruicem, ceruicem.

Pro ψ, π σ. pelops, pelops. araps, araps.

Pro ω aũt ο hora, hora. uulnus, uulnus.

Quæcũq; aũt p diphthõgũ apud nos dicuntur, ipsi per solum ε geminãtes consonantẽ proferunt. faciunt aũt ex sola duas consonãtes. manus, manus. desyderãs, desyderans. uulnera, uulnera. uestes, uestes. nobis, nobis. uos, uos. occidere, occidere. epeirum, epeirum.

Et etiam ει diphthongum, sæpe in οι mutant. somnium, somnium. uinum, uinum.

Consuetudo aũt est ipsis, uocalib. p̃ponere digamma. dicunt autem plura geminantes. qui, qui. luna, luna. personæ, personæ. decidit, decidit. unde, unde. secundũ aũt, secũdũ autẽ. quoniã, quoniã.

Incipientibus apud nos ab. ρ. ipsi præponunt. β. ut tenue fiat. rosæ, brosæ. Rhadamãthus, Bradamanthus. habenæ, habenæ.

Peculiariter autẽ hi quæcũq; apud nos aspirãt, aut acuunt tenuiter dicũt, & grauisanctus. hic. uideo. monile. (sone.

Seruant autem & tenuitatem in contractiõibus. decet, decet. dimisit, dimisit. abstraxit, abstraxit.

Grauitona dicunt non solũ nomina, sed & articulos, quando nominũ ordinẽ habent. tuus, tuus. tuum, tuum. tua, tua. tuæ, tuæ.

Cũ aũt p̃noĩa p̃ferunt, circunflectunt.

Circũflectũt in uniuersum monosyllaba uel ĩ. ωξ, desinẽtia, acinus. lepus. uirgultũ. uel ĩ. ους. cutis, flux⁹, rumor, bos, mẽs, (ego

Bisyllaba ãt acuto tõo apd̃ nos (ãser, Iupr. d̃sinẽtia, ipi graui tõo p̃ferũt. sapiẽs, pl̃cher, alb⁹. acut⁹. mucro. fẽestella. cuspis, scutũ. strepitus, asp, aĩus, dur⁹, claudus.

Assolẽt aũt appellatĩa graui tono p̃ferre. pax, hora, dies. & p̃pria. Venus. Iuno. Helena.

Quæcũq3 nos ĩ. ις. fœminina p. δ. declinamus. dianæ, thetydis. iræ. ipsi absq3. δ. dicunt Dianæ. thetidis. iræ.

In ης. nomina quorum uocatiuus in. ες. sine. σ. dicunt. o Socrates. o Ari-

D

ςόφανε. Δημόσθενε.

Καὶ τῶν γενικῶν δὲ πτώσεων, τὸ · σ · ἀφαιροῦσι. Σωκράτου · Διομήδου · Σοφοκλέου.

Ἀντὶ δὲ αἰτιατικῆς δοτικὴν παραλαμβάνουσιν ἐν τοῖς παθητικοῖς · τοῖς θεοῖς, ἀντὶ τοῦ τοὺς θεούς · τοῖς ἀνθρώποις, ἀντὶ τοῦ τοὺς ἀνθρώπους · τοῦτο δὲ ποιοῦσι, διὰ τὸ χρῆσθαι αὐτοὺς τῷ · ι · ἀντὶ τοῦ · υ.

Τὴν δὲ αἰτιατικὴν διὰ τοῦ · ως · τὼς ἵππως ἀντὶ τοῦ ἵππους. ὅ, τι καὶ δωριέων.

Τὴν δὲ δοτικὴν τῶν πληθυντικῶν, σὺν τῷ · ι · ποιοῦσι τοῖσι · θεοῖσι, σοφοῖσιν · ὁμοίως τοῖς δωριεῦσι.

Τὰ δὲ ἀπαρέμφατα ῥήματα ποιοῦσιν ἀπὸ τῶν εἰς · ων · ληγόντων μετοχῶν, τὰ καταλήγοντα εἰς · εν · αὐτοὶ εἰς. εις · μεταβάλλουσι. νοῶν, νοεῖν, νόεις · φρονῶν, φρονεῖν, φρόνεις · καλῶν, καλεῖν, κάλεις.

Ὅταν δὲ ἀπαρέμφατα παρ' ἡμῖν εἰς · αν αὐτοὶ εἰς · αις · μεταβάλλουσι · γελᾶν, γέλαις · πεινᾶν, πείναις.

Τὰ δὲ εἰς · ουν · καταλήγοντα ἀπαρέμφατα αὐτοὶ διὰ τῆς · οις · ἐκφέρονται · ὀρθοῦν, ὄρθοις. γυψοῦν, γύψοις · χρυσοῦν, χρύσοις · ταῦτα δὲ πάντα, βαρυτόνως προφέρονται.

Τάσσουσι δὲ καὶ τὸ · η · ἀντὶ τῆς · ει · ἐπὶ τῶν ἀπαρεμφάτων · φιλεῖν, φίλην · καλεῖν, κάλην · φρονεῖν, φρόνην.

Τὰ δὲ εἰς · ω · καταλήγοντα παρ' ἡμῖν ῥήματα, ἀντὶ ὁριστικῶν, εὐκτικὰ ποιοῦσιν· οἷον νοῶ, νόημι · φιλῶ, φίλημι.

Ὅσαι δὲ μετοχαὶ ὀξύτονοι εἰς · ω · καταλήγουσι, διὰ τὸ · ν · παρ' ἐκείνοις λέγονται· εἰρηκώς, εἰρήκων · νενοηκώς, νενοήκων.

Φυλάττουσι δὲ καὶ τὰς ἀπὸ τούτων κλίσεις ἀναλόγως τῇ προθέσει · λέγεται δὲ παρ' αὐτοῖς τὸ χρυσίον, χρύσιον · τὸ δὲ ταύρῳ, ταύρει · ὁ δὲ πούς, πέζα · ὁ παῖς, πάϊς · τὸν ἔρωτα, ἔρων · τὸν γέλωτα, γέλων · ὁ πταρμός, πτάρμος · τὸ ἐπαινῶ, αἴνημι · τὸ χείρονα, χέρρονα · τὸ δάπεδον, ἐδάπεδον · τὸ ἔστρωται, ἐστόρωται · τὸ ἀνήρ, δρήκων · ὁ δὲ θήρ, δράκων.

Τὰ ἱμάτια, ἔμματα · ἡ μία, ἴα · ἡ ψῆφος, ψάφαξ. ἡ ἰσχνὴ, καὶ ἀσθενὴς, ἀκίρα. τὸ ἐγώ, ἐγών τὸ σύ, τύ · τὸ ἡμῖν, ἄμμιν · τὸ ἡμεῖς ἄμμες · τὸ ἐνθάδε, τίδε · τὸ ἄλλοσε, ἑτέροσε. κέχρηται δὲ αὐτῇ Ἀλκαῖος, καὶ Σαπφώ.

ſtophanes. Demoſthenes.

Et a genitiuis caſibus · σ · auferunt · ſocratis, diomedis, ſophoclis.

Pro accuſatiuo datiuum aſſumunt in paſſiuis. deis, pro deos · hominibus pro homines. hoc autẽ faciunt, quia utuntur. ĩ. pro υ.

Accuſatiuum per · ως · equos, pro equos · id quod & doriẽſium eſt

Datiuum pluralem cum ι faciunt. deis, ſapientibus, quemadmodum dorienſes.

Infinita uerba faciũt ab in · ων · deſinẽtib⁹ participiis, finientiã in · εν. ipſi in · εις. transferunt intelligẽs intelligere, intelliger e. ſapiens ſapere, ſapere. uocãs, uocare, uocare.

Quñ infinita apud nos deſinunt in. αν. ipſis in. αις. tranſmutant. ridere, ridere · eſurire, eſurire.

In. ουν. terminantia infinita ipſi per · οις · proferunt · corrigere, corrigere. gypſare, ſare. inaurare. re. hæc autẽ omnia graui tono pronunciant.

Ordinant & · η. pro · ει · in infinitis. amare, amare · uocare, uocare · ſapere, ſapere.

In, ω. deſinentia apud nos uerba, ꝑ indicatiuis optatiua faciunt, ut intelligo, intelligo. amo, amo.

Quæcũq; aũt ꝑticipia acutitona in. ω. finiunt, per. ν. apud illos dicuntur · qui dixit, qui dixit. qui intellexit, qui intellexit.

Seruãt aũt eorũ etiã flexiões noĩatiuo iuxta analogiã rñdentes. dicitur autem apud eos aurum, aurum. Tauro, uero tauro. pes, pes · puer, puer. amorem, amorem. riſum, riſum. ſternutatio, ſternutatio · laudo, laudo · peiorem, peiorem · pauimentum, pauimentũ. ſtratum eſt, ſtratum eſt · uir, uir. fera, fera.

Veſtes, ueſtes. una, una. ſuffragiũ, ſuffragiũ. gracilis, & debilis, acira. ego, ego. tu, tu. nobis, nobis. nos, nos. hic, hic. alio, alio · utitur autem ea Alcæus, ac Sappho.

Δωρίς.

Ἐξει ποικίλῃ κεχρημένος ὅμηρος, καὶ ἀπὸ πάσης διαλέκτου τῶν ἑλληνίδων χαρακτῆρας ἐγκατέμιξεν. δι' ὧν δῆλός ἐστιν ἀπελθὼν πᾶσαν μὲν ἑλλάδα, καὶ πᾶν ἔθνος. καὶ δωριέων μὲν τῇ συνήθει τῆς βραχυλογίας ἐλλείψει κέχρηται, τὸ δῶμα λέγων δῶ. αὐτίκα τέ οἱ δῶ ἀφνειὸν τέλεται. καὶ τὸ ὅτε, ὅ. ὅ μοι αἰετὸς ἔκτανε χῆνας. καὶ τὸ ὀπίσω, ἄψ. μεταβάλλων τὸ μὲν. ο. εἰς. α. τὸ δὲ. π. καὶ. σ. εἰς τὸ συγγενὲς αὐτοῖς φημὶ τό. ψ. καὶ τὸ ἄλλοτε, ἄλλο. ἤδη γάρ με καὶ ἄλλοτε ἢ ἐπίνυσσεν ἐφετμή. καὶ τὰ τοιαῦτα.

Ὁμοίως δὲ καὶ τὰ μέσα συντέμνων λέγει τοὺς ὁμότριχας, καὶ ὁμοετέας, ὄτριχας, οἰέτεας. καὶ τὸν ὁμοπάτριον, ὄπατρον. καὶ τὸ τρέμειν, τρεῖν. καὶ τὸ τιμῶ, τίω. τῶν αὐτῶν δέ ἐστι καὶ τὸ ὑπερβιβάζειν τὰ στοιχεῖα. ὡς ἐν τῷ κάρτιστοι, ἀντὶ τοῦ κράτιστοι.

Αἰολίς.

Αἰολέων δὲ χρῆται ἐν τοῖς συνθέτοις τῇ συγκοπῇ. καδδραθέτην λέγων, ἀντὶ τοῦ κατέδραθον. καὶ ὑβάλλειν ἀντὶ τοῦ ὑποβάλλειν. καὶ ἐπὶ τοῦ παρατατικοῦ χρόνου τὰ τρίτα πρόσωπα λήγοντα παρὰ τοῖς ἄλλοις εἰς τὸ. ε. διὰ τοῦ. η. παρὰ τοῖς αἰολεῦσιν ἐκφέρεται ὡς ἐφίλη, ἐνόη, οὕτω καὶ ὅμηρος ἐποίησε. δίδη μόσχοισι, λέγουσιν. ἀντὶ τοῦ ἔδει. ὅ ἐστιν ἐδέσμει. καὶ τοὺς μὲν, οὔτ' ἀνέμων διάημενος ὑγρὸν ἀέντων.

Καὶ τὸ ἐναλλάσσειν ἐνίοτε τὸ. σ. εἰς τὸ. δ. ὡς ἐν τῷ λέγειν ὀδμὴν, καὶ ἴδμεν.

Καὶ τὸ πλεονάζειν ἔστιν ὡς τὸ εὔκηλος, ἀντὶ τοῦ ἕκηλος. καὶ αὐτὰρ, ἀντὶ τοῦ ἀτάρ. καὶ τὸ κεκληγόντες, ἀντὶ τοῦ κεκληγότες.

Καὶ τὸ προστιθέναι τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων τό. θα. ὡς τὸ φῆς, φῆσθα. καὶ εἴπῃς, εἴπῃσθα.

Τὸν δὲ διπλασιασμὸν τῶν συμφώνων οἱ μὲν δωριεῦσιν, οἱ δὲ αἰολεῦσι προσνέμουσιν. οἷον ἔλλαβε πορφύρεος θάνατος καὶ ὁππότερος τάδε ἔργα.

Ἰάς.

Ἰώνων δὲ ἴδιον ἔχει, τὸ ἀφαιρέσει χρῆσθαι ἐν τοῖς παρῳχηκόσι χρόνοις τῶν ῥημάτων. ὡς τὸ βῆ, καὶ τὸ δῶκεν. ἔθος γὰρ ἔχουσιν ἐπὶ τῶν παρῳχημένων χρόνων, ἀπὸ τῶν αὐτῶν στοιχείων ἄρχεσθαι, ἀφ' ὧν ἐστι καὶ ὁ ἐνεστώς.

Καὶ τὸ ὑφαιρεῖν τὸ. ε. ἐν τῷ ἱερεὺς, ἱρεύς.

Καὶ τὸ προστιθέναι τοῖς τρίτοις προσώποις τῶν ὑποτακτικῶν τὸ. σι. οἷον τὸ ἔλθῃσι. καὶ



Dorica lingua.

Dictione uaria usus Homerus, cuiuslibet linguæ græcorum insignia immiscuit. ex quibus manifestus est peragrasse uniuersam græciã, & omnẽ nationẽ. & doriẽsiũ quidem consueto breuitatis defectu usus est, domũ dicẽs, do. Statim aũt ei domus diues est. & qm̃ qm̃. Qm̃ mihi aqla occidit anseres. & retro, retro. mutans o quidem in. α. π. autem & . σ. in cognatum ipsis uidelicet. ψ. & alias, alias. iã enĩ & me alias tuus increpauit monitus. & huiusmodi.

Similiter aũt & media concidens, ait. similes capillis, & æquales, similes cap. & æq. & eodem patre natum. eo. p. n. & tremere, tremere. & colo, colo. eorundem est & transponere elementa. ut in hoc fortissimi, pro fortissimi.

Aeolica.

Aeolensium autem utitur in compositis concisione, una dormierunt inquiens, p̃ addormierunt. & interpellare p̃ interpellare. & in p̃terito ĩpfecto tp̃e tertiæ personæ desinentes apud alios in. ε. p. η. apud æolenses efferunt, ut ĩ amabat, ĩtelligebat. sic & Home. fecit. ligabat teneris uiminib. pro ligabat hoc est ligabat. & hos quidẽ neq; uentorum perflat uis humettũ spirãtium.

Et immutare interdum. σ. in. δ, ut si dixeris odorem, & scimus.

Et abundare in quibusdã, ut quietus p̃ quietus, & sed pro sed. & clamantes, pro clamãtes.

Et addere secundæ personæ uerborum tha. ut dixisti, dixisti. dixeris, dixeris.

Geminationẽ autem consonantium alii doriensibus, alii æolensibus attribuunt. ut apræhendit purpurea mors. & uter hæc opera.

Ionica.

Ionum autẽ p̃priũ habet ablatiõe uti in præteritis temporib. uerborum. ut iuit, & dedit. consuetudinẽ aũt habent & in præteritis temporib. ab iisdem elementis incipere, a quib. est & præsens.

Et auferre. ε. in sacerdos, sacerdos.

Et addere tertiis personis subiunctiuo℞. σι. quale est ueniat, &

τὸ λάβησι, καὶ λέγησι. καὶ ταῖς δοτικαῖς θήρησι, καὶ ὕλησι.

Καὶ τὸ λέγειν οὔνομα, καὶ νοῦσον, καὶ τοὔμπροσθεν.

Καὶ κεινὸν, καὶ μεῖλαν, ἀντὶ τοῦ κενὸν, καὶ μέλαν.

Καὶ τὸ μεταβάλλειν τὸ. α. ἐπειδὰν ἐκτείνηται εἰς τὸ. η. ὡς τὸ, ἥρη τ' ἀργείη, καὶ ἀθηναίη ἀλεγείη.

Ἔστι δ' ὅτε καὶ ἐξ ἐναντίου. τὸ. η. εἰς τὸ. α. ὡς τὸ λελασμένος ἀντὶ τοῦ λελησμένος.

Καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα φρονέων. εὐνοέων. καὶ τὰς γενικὰς τὰς εἰς. ους. ληγούσας. ὡς τὸ διομήδεος.

Καὶ τῶν θηλυκῶν τὰς γενικὰς τὰς εἰς. ων. ληγούσας. ὡς τὸ πυλῶν, νυμφῶν. πυλέων, νυμφέων.

Καὶ τῶν οὐδετέρων τὰς πληθυντικὰς εὐθείας τὰς εἰς. η. ληγούσας. ὡς τὰ στήθη, στήθεα. βέλη, βέλεα.

Καὶ τὰς γενικὰς αὐτῶν ὁμοίως, ἰδίως δὲ λέγουσι, καὶ τὸ τετράφαται, καὶ τὰ τοιαῦτα.

Ἀτθίς.

Μάλιστα δὲ τῇ ἀτθίδι διαλέκτῳ κατακέχρηται. καὶ γὰρ ἐπίμικτος ἦν. καὶ ἐπεὶ λέγεται παρ' αὐτοῖς ἀττικοῖς λεὼς ὁ λαός. κατὰ ταύτην τὴν συνήθειάν ἐστι παρ' αὐτῷ, ὁ πηνέλεως, καὶ τὸ χρέως. ἔστι δὲ αὐτοῖς σύνηθες καὶ τὸ συναλοίφειν ἐνίοτε, καὶ ἀντὶ δύο ποιεῖν μίαν συλλαβήν. τὸ ἔπος, τοὖπος. καὶ τὸ ἱμάτιον, θοἰμάτιον. οἷς ἐστιν ὅμοιον. τρῶες δὲ προὔτυψαν ἀολλέες. καὶ πεδία λωτεῦντα. ἀντὶ τοῦ λωτεύοντα. καὶ τὸ ὑφαιρεῖν τὸ. η. τῶν τοιούτων εὐκτικῶν δοκοίης, δοκοῖς, τιμῴης, τιμῷς, ἐστιν ἀττικόν. ᾧ ἀκολούθως εἴρηται. ἄλλοι δὲ διακριθεῖται τάχιστα.

Ὁμοίως δὲ καὶ τοῦτο ἀττικόν. οἱ πλέονες κακίους. παῦροι δέ τε πατρὸς ἀρείους. ὃ λέγομεν κακίονες, καὶ ἀρείονες.

Καὶ τὸ τὰς αἰτιατικὰς τῶν τοιούτων μὴ διαιρεῖν. τοὺς βοῦς. τοὺς ἰχθῦς. βοῦς περιταμνομένους, καὶ ἰχθῦς ὄρνιθάς τε.

Κἀκεῖνο δὲ εἴρηται ἀττικῶς. οὐδέ τί μιν σθένει ῥήγνυσι ῥέοντες. ὡς ζεύγνυσι, καὶ ὄμνυσι.

Καὶ τὸ ἐξαιρεῖν τὰ βραχέα τῶν τοιούτων, ἀττικόν. λούεται, λοῦται. οἴομαι, οἶμαι. οὕτως οὖν καὶ τὸ λῦτο, ἀντὶ τοῦ ἐλύετο.

Τῶν αὐτῶν ἐστι καὶ τὸ ἑώρων, καὶ ἐωνησάμην, ἐκ περισσοῦ προστιθέντων τὸ. ε. ὅθεν ἐστὶ καὶ τὸ ἐῳνοχόει. καὶ τὸ συναιρεῖν τὸ ι. ἐπὶ τῶν τοιούτων. ἤονες. νηρῆδες. οὕτω καὶ τὸ σφῶ δὲ μάλιστ' ἠθέλετον.

Καὶ ἐπὶ τῆς εἰς. ι. καθαρὸν ληγούσης δοτικῆς παρατελευτῶντος τοῦ. α. κέραϊ, κέρᾳ. γήραϊ γήρᾳ. σέλαϊ, σέλᾳ.

Ἔτι καὶ τοῦτο ἀττικὸν, τὸ λέγειν, ἔστων ἀντὶ τοῦ ἔστωσαν. καὶ ἑπέσθων, ἀντὶ τοῦ ἑπέσθωσαν.

Ἔστι δὲ καὶ ἡ τῶν δυϊκῶν χρῆσις τῆς αὐτῆς συνηθείας. καὶ ὅμηρος χρῆται συνεχῶς. καὶ τὸ,

accipiat, dicat. & datiuis uenationibus, & materiis.

Et dicere nomē, & morbum, & ante.

Et uacuū, & nigrū, ꝓ uacuū, & nigrum

Et mutare. α. si producatur in. η. ut Iunoq; argiua, & Minerua. prædatrix.

Interdum & ex contrario. η. in. α. ut oblitus pro oblitus.

Et diuidere circunflexa uerba sapiens, intelligens. & genitiuos in. ους. desinentes. ut Diomedis

Et circunflexos genitiuos pluraleis. ut portarū, nympharꝫ. portarum, nympharū. Persarum, persarum.

Et neutrorum pluraleis rectos in. η. desinentes. ut pectora, pectora. sagittæ, sagittæ.

Et gtōs ipsorꝫ similiter. ꝓprie autem dicunt, & nutriti sunt, & similia.

Attica.

Maxime aūt attica dialecto usus est. & enim immista fuit, ac qm̄ dicitur apud ipsos atticos populus, populus. fm̄ hanc consuetudinem est apud ipsum, peneleus, & debitū. est aūt ipsis consuetudo contrahere interdum, & pro duab, facere unā syllabā. carmē, carmē. & indumentū, indumētū. quib. est simile. Troes aūt ꝓcesserūt densi. & campi lotis consiti, pro lotis consiti. & auferre. η. ab hmōi optatiuis putares, putares, honorares, honorares, est atticum. cui similiter dictū est, alii aūt dirimamini celerrīe.

Itidem & hoc atticum, plures peiores. pauci patre sunt meliores. quod dicimus peiores, & meliores.

Et accusatiuos huiuscemodi non diuidere. boues. pisces. boues circuncidentem, & pisces auesq;.

Et illud dicitur attice. neq; ipsum robore rumpunt fluentes. ut iungunt, & iurāt.

Et extrahere breues ex huiusmodi atticum, lauatur, lauatur. puto, puto. sic igit̄ etiā soluebat̄, pro soluebatur.

Eorundem est etiam uidebam, & emi, ex super fluo addentium. ε. Vnde est, & uinum fundebat. & contrahere, ī. in huiusmodi. litora, nereides. sic & uos autem ambo ualde uolebatis.

Et in. ι. purum desinente datiuo penultimante. α. cornu, cornu. senectuti, senectuti. splendori, splendori.

Item & hoc atticum, dicere, sint, pro sint. sequant̄, ꝓ sequant̄.

Est & dualium usus eiusdē cōsuetudinis. & Home. utit̄ freqnter. &

τοῖς

τοῖς θηλυκοῖς ἄρθρα ἀρσενικὰ, ἢ μετοχὰς, ἢ ἐπίθετα συντάσσειν. ὡς τὸ, τὼ χεῖρε. τὼ γυναῖκε. καὶ παρὰ πλάτωνι δὲ ἄγοντε, καὶ φέροντε. καὶ ἡ σοφὸς γυνὴ, καὶ ἡ δίκαιος. οὕτως οὖν καὶ ὅμηρος ἐπὶ ἥρας, καὶ ἀθηνᾶς ἔφη. οὐκ ἂν ὑφ᾽ ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ. καὶ ἤτοι ἀθηναίη ἀκέων ἦν. καὶ κλυτὸς ἱπποδάμεια.

Κ αἱ περὶ τὴν σύνταξιν πολλὰ ἰδιώματα ἐχουσῶν τῶν διαλέκτων ὅταν εἴπῃ ὁ ποιητής, ἀλλ᾽ ἄγ᾽ ὀΐστευσον μενελάου κυδαλίμοιο, ἀττικὴν δείκνυσι συνήθειαν. ὅταν δὲ εἴπῃ δέξατό οἱ σκῆπτρον. καὶ θέμιτι δὲ καλλιπαρήνῳ δέκτο δέπας. ἐν τούτοις δωρίζει. ὅπως τὰς ἁπάντων φωνὰς ἀθροίζων ποικίλον ἀπεργάζεται τὸν λόγον. καὶ χρῆται ποτὲ μὲν ταῖς ξέναις, ὥσπερ εἰσὶν αἱ προειρημέναι. ποτὲ δὲ, ταῖς ἀρχαίαις. ὡς ὅταν λέγῃ ἄορ, καὶ σάκος. ποτὲ δὲ ταῖς κοιναῖς καὶ συνήθεσιν. ὡς ὅταν λέγῃ ξίφος, καὶ ἀσπίδα.

### Περὶ διαλέκτων τῶν παρὰ κορίνθου παρεκβληθεισῶν.

Δού σοι καὶ τὰς διαλέκτους ἐγχειρίζω νέων μοι πάντων φι-
I λολογώτατε. περὶ ὧν ὅτε φιλόπονος ἰωάννης ἐπόνησε, καὶ τρύφων ὁ γραμματικὸς, καὶ ἄλλοι πολλοὶ οἷς ἱκανὴ περὶ τὰ βιβλία διατριβὴ, καὶ ἄσκησις γέγονεν, οὔπω δέ τις μέχρι καὶ τήμερον τὸ πᾶν ἑκάστης τῶν διαλέκτων ἐγνώρισε. καὶ μὴ νομίσῃς ἡμᾶς ἐκ τοῦ λέγειν ταῦτα οἴεσθαί τι μέγα περὶ αὐτῶν. ἡ γὰρ γλῶσσα κατὰ λυσίαν τὸν ῥήτορα νοῦν οὔτε πολὺν, οὔτε μικρὸν ἔχει. ὁ δὲ νοῦς ᾧ μὲν πολὺ, πολύς ᾧ δὲ μικρὸν, μικρός. οὐκοῦν περιαυτολογοῦντες τῶν ἀνδρῶν περὶ τοῦτο τὸ μέρος κατηγορήσομεν. ἀλλὰ φίλων ὄντων προτιμῶντες αὐτῶν τὴν ἀλήθειαν, ὥς που καὶ πλάτων ὁ φιλοσοφώτατος ἔφησε. αὐτοὶ τοίνυν ἀττικῆς μὲν φράσεως κανόνα τὸν κωμικὸν ἀριστοφάνην προθέμενοι, καὶ θουκυδίδην τὸν συγγραφέα, καὶ ῥήτορα. ἰάδος δὲ τὸν ἱπποκράτην τὸν ἴωνα καὶ ἁλικαρνασέα ἡρόδοτον. δωρίδος δὲ τὸν ταραντῖνον ἀρχύταν, καὶ θεόκριτον τὸν τὰ βουκολικὰ συγγραψάμενον. καὶ τῆς αἰολίδος ἀλκαῖον. ἴσως ἂν περὶ τῶν διαλέκτων ἱκανῶς διαλάβοιμεν. εἰ δέ τι καὶ ἡμῖν κατὰ λήθην παραλειφθήσεται, οὐ τῆς ἴσης τούτοις κατηγορίας ἄξιον παρὰ τοῖς εὐγνώμοσι. τοῖς μὲν γὰρ τὰ πλείω παρείθησαν. ἡμῖν δὲ ὀλίγα τυχὸν οὐκ εἰρήσεται.

### Περὶ διαλέκτων.

Δ ιάλεκτός ἐστιν ἰδίωμα γλώσσης. ἢ διάλεκτός ἐστι λέξις ἴδιον χαρακτῆρα τύπου ἐμ- (φαίνουσα.

I ὰς ἐκλήθη ἀπὸ ἴωνος υἱοῦ τοῦ

fœminis articulos masculinos, uel pticipia, uel adiectiua cõstruere. ut hi duo manus. hi minæ. & apud Pla. degẽtes, & (duo fœ feretes, & doctus mulier, & iustus. sic igitur & Homerus de Iunone, & Pallade ait. non in nostris carris percussi fulmine. & certe pallas tacitus erat, & inclytus hippodameia.

Et in cõstructione multa idiomata habentibus dialectis, cum dicit poeta. Sed age sagittato Menelai gloriosi, atticã ostendit consuetudinem. cum aũt dicit accepit ei sceptrũ. & themidi pulchrigenæ suscepit poculũ. in his dorizat. ut igit̃ omniũ græcorũ uoces aggregans uariam efficit orationem. & utitur aliquando externis, ut sunt prædictæ. aliquando priscis. cum dicit ensis. & clypeus. aliquando & cõibus & cõsuetis. ut cũ dicit gladiũ, & scutum.

### De Dialectis quæ ab Corintho decerptæ.

En tibi & dialectos in manus trado iuuenum mihi omnium amantissime studii. in quib. & Philoponus Ioannes laborauit, & Tryphon grammaticus, & alii multi, quib. multũ in libris studium, & exercitatio fuit, nõdũ ãt qspiã ĩ hũc usq; diẽ totũ negociũ uni9cui9q; idiomatis notũ fecit. nec putes nos dicẽdis his existimare aliqd magni de nobis loq. lingua enĩ ẽm lysiã oratorẽ ĩtellectus neq; multum, neq; paꝝ hẽt. ĩtell's ãt, cui multũ multus. cui parũ, paruus. non igitur nostra laudantes, eos uiros in hac parte accusabimus, sed amici cũ sint, pluris facientes, q̃ ipsos, ueritatẽ, quẽadmodũ & Pla. philosophus summus ait. ipsi igitur atticæ elocutionis regulã comicũ Aristophanẽ p̃ponentes, & Thucydidem scriptorem & oratorem. ionicæ autem Hippocratẽ ionẽ, & alicarnaseum Herodotum. Doricæ Tarentinum Architam, & Theocritum, qui bucolica conscripsit. & æolicæ Alcæum. forsan de dialectis abunde tractauerimus. si qd uero & nobis p obliuionẽ omissũ fuerit, nõ simili id crimine dignũ apud benignos. ab illis enim plura omissa sunt. nobis aũt pauca forte nõ dicentur.

### De Dialectis.

Dialectus est Idioma linguæ. uel Dialect9 est dictio ꝓpriũ characterẽ formulæ (oñdẽs.

Iõica appellata ẽ ab Ione filio

ἀπόλλωνος, καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρὸς, ἣ ἔγραψεν ὅμηρος.

Ἀτθὶς δὲ ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρὸς, ἣ ἔγραψεν ἀριστοφάνης. (Θεόκριτος.

Δωρὶς ἀπὸ δώρου τοῦ ἕλληνος, ἣ ἔγραψε

Αἰολὶς ἀπὸ αἰόλου τοῦ ἕλληνος, ἣ ἔγραψεν ἀλκαῖος.

Κοινὴ δὲ, ἣ πάντες χρώμεθα. ἀλλὰ καὶ πίνδαρος ταύτῃ ἐχρήσατο.

Περὶ ἀτθίδος.

Λῆρον ληρεῖς, ἀττικὴ ἡ φράσις, καὶ τὸ σχῆμα. ὡς τὸ μανίαν μαίνῃ. ἔστι γὰρ ἀττικῆς ἰδίωμα φράσεως τὸ εἰπόντα πρᾶγμα ἐπαγαγεῖν ῥῆμα τὸ ἀπὸ τοῦ πράγματος παραγόμενον. ὡς τὸ ὕβριν ὑβρίζεις, καὶ φυγὴν φεύγεις.

Χρῶνται τοῖς προστακτικοῖς οἱ ἀττικοὶ ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ αὖ τοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν. κἀκείνου μὲν τὸ ἀριστοφάνους ἐν θεσμοφοριαζούσαις παράδειγμα μὴ ψεῦσον ὦ ζεῦ τῆς ἐπιούσης ἐλπίδος, ἀντὶ τοῦ μὴ ψεύσῃς. τοῦ δευτέρου ὁ μένανδρος. οἶδ᾽ ὅτι ποίησον. ἀντὶ τοῦ ποιήσεις. ἀλλὰ καὶ εὐριπίδης ἐν τῷ πολυδώρου δράματι. οἶσθ᾽ οὖν ὃ δρᾶσον. ἀντὶ τοῦ δράσεις ἐξήνεγκε.

Τρόπαιον παρὰ θουκυδίδῃ προπερισπωμένως παρείληπται, καὶ παρ᾽ ἀριστοφάνει ἐν θεσμοφοριαζούσαις. ὦ γυναῖκες οὐκ ἀρήξετ᾽, οὐ πολλὴν βοὴν στήσετε καὶ τρόπαιον. καὶ οἶμαι κατ᾽ ἀναλογίαν τοῦτο μᾶλλον παρὰ σφίσιν οὕτω προφέρεσθαι. ὡς ἀπὸ τοῦ τρίτη τὸ τριταῖον. καὶ ἀπὸ τοῦ οὐρὰ τὸ οὐραῖον. οὕτω καὶ ἀπὸ τοῦ τροπὴ, τροπαῖον

Καὶ τὸ ὁμοῖος προπερισπωμένως ἐκφέρουσιν, ὡς καὶ παρ᾽ ὁμήρῳ. ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον. καὶ ἔστιν ἀνάλογον. τὰ γὰρ διὰ τοῦ οιος ὑπὲρ δύο συλλαβὰς μὴ ὄντα προσηγορικὰ, ἅπαντα προπερισπᾶται. γελοῖος, ἀλλοῖος, ἑταιροῖος, παντοῖος. οὕτω καὶ τὸ ὁμοῖος. τὸ μέντοι ὑπὲρ δύο συλλαβὰς εἴρηται διὰ τὸ γλοιός, φλοιός. προστέθειται δὲ μὴ προσηγορικὰ διὰ τοῦ κολοιὸς ὄνομα ὀρνέου. τὸ δὲ ὅμοιος προπαροξύνεται κατὰ κοινὴν συνήθειαν.

Τρέπει ἡ ἀτθὶς τὸ σ. ποτὲ μὲν εἰς τ. ποτὲ δὲ εἰς ξ. τὴν γὰρ θάλασσαν, θάλατταν λέγει. καὶ τὸ σεῦτλον τεῦτλον. καὶ τὴν συμφορὰν ξυμφοράν. τρέπει δὲ τὸ σ. εἰς ξ. ἐπὶ τῶν ἀπὸ τῆς σὺν προθέσεως ἀρχομένων, καὶ συντεθειμένων λέξεων μόνον. καὶ αὐτὴ δὲ ἡ σὺν καθ᾽ ἑαυτὴν εἰς ξ. τρέπεται. ὡς τὸ ἀρτέμιδι ξύν. ταῦτ᾽ ἄρα ἀττικὸν ἀντὶ τοῦ διὰ ταῦτα. λείπουσι γὰρ αἱ προθέσεις παρὰ τοῖς ἀττικοῖς ὡς καὶ παρ᾽ ὁμήρῳ. ὡς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο, ἀντὶ τοῦ κατὰ πῦρ ἐμάχοντο. ἤγουν ὡς

Apollinis,& creusæ erechthei filiæ,qua scripsit Homerus.

Attica ab Attica Cranai filia, q̃ scripsit Aristophanes. (Theocritus.

Dorica a doro Hellenis,qua scripsit

Aeolica ab æolo Hellenis,qua scripsit Alcæus.

Cōis,qua oēs utimur.sed & Pindarus hac usus est.

De attica lingua.

Nugas nugaris,attica locutio & figura.ut insaniā insanis.est enim atticæ Idioma locutionis,cum dixeris rem inferre uerbū,quod a re deducat̃,ut contumeliam contumeliaris.& fugam fugis.

Vtuntur imperatiuis attici pro subiunctiuis abnegatiuis.& rursus impatiuis,ꝑ indicatiuis.& illius qdē illud Aristoph.in legiferæ cereris sacra gestātib.mr̄onis exemplum ne frustrare o subeūte spe ꝑ ne frusteris.hᵒ āt (Iupr menāder.scio id quod fac,pro facies.sed & Eurypides in Polydori tragœdia.nostin igitur quod fac? pro facies protulit.

Trophæū apud Thucydidē circunflexa penultīa acceptū est,& apud Aristop.in Thesmophoriazusis.o mulieres nō succurretis. nō multū clamorē statuetis & trophæum. (retis. & puto ꝑ analogiā hoc magis (phæum. apud ipsos sic proferri,sicut a tertia tertianum,& a cauda caudale. sic & a uersione,trophæum.

Et similis circūflexa penultima proferunt,ut apud Homerū.sicut semp similē agit deus ad similē.et est analogum. nam quæ per.οιος.supra duas syllabas nō appellatiua,oīa in penultima circunflectunt̃.ridiculus,alteri⁹,q̄litatis,diuersus, omnimodus.sic et similis.supra duas syllabas tamē dictū ē ꝑp sordes, cortex.additum est non appellatiua ꝑpter graculus nomen auis.sed similis in antepenultīa acuit̃ s̄m cōem cōsuetu- (dinē.

Vertit attica.σ.mō in.τ.mō in ξ.nam mare,mare dicit.et beta,beta.et calamitatem, calamitatem.uertit auiē.σ.in.ξ.in iis quæ a cum præpositione incipiunt,et compositis dictionibus tm̄.& ipsa cum per se in.ξ.uertitur.ut diana cum.hæc igitur,est attica locutio,pro ꝑpter hæc. Deficiunt enī ꝑpositiones apud atticos,sicut & apud Homerū.Sic hi pugnabant corpus ignis ardentis, ꝑ secundum ignē pugnabāt.uidelicet ut

πῦρ ἐπι

πῦρ ἐπενέμοντο ἅπαντα. καὶ παρ᾽ ἀριστοφάνει γνώμην ἐμήν. ἀντὶ τοῦ κατὰ γνώμην ἐμήν. καὶ θουκυδίδης ἐν τῷ τρίτῳ τῆς συγγραφῆς. καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἀντὶ τοῦ διὰ τὸ μὴ κακουργεῖν. ἁπλῶς δὲ αἱ ἐλλείψεις τῶν ἀττικῶν εἰσιν. οἷον καθ᾽ ἑκάστην. λείπει, τὴν ἡμέραν. καὶ ἐν βραχεῖ. λείπει γὰρ καιρῷ, ἢ λόγῳ. καὶ τὸ ἐν ἀκαρεῖ δὲ, τοιοῦτόν ἐστι. καὶ εἰ δ᾽ ἄγε μὴν πείρησαι, ἵνα γνώωσι καὶ οἵδε. λείπει γὰρ τὸ βούλει. εἰ βούλει γάρ φησι, πειρήθητι. καὶ κόπτων ἀμφοτέρῃσι. λείπει ταῖς χερσί. καὶ παρ᾽ ἀριστοφάνει. πόθεν βροτοῦμέ προσέβαλον ὦναξ Ἡράκλεις. λείπει γὰρ τὸ φωνὴ, ἢ ὀσμή.

A ττικῶν δὲ καὶ τὸ εὐθεῖαν ἀντὶ γενικῆς λαμβάνεσθαι, ὡς παρ᾽ ἀριστοφάνει ἐν λυσιστράτῃ. εἰρημένον δ᾽ αὐτοῖς ἀπαντᾶν ἐνθάδε βουλευσομένοισιν, οὐ περὶ πράγματος φαύλου εὕδουσι, καὶ οὐχ ἥκουσιν, ἀντὶ τοῦ ῥηθέντος. καὶ θουκυδίδης ἐν τῷ τετάρτῳ. κυρωθὲν δὲ οὐδὲν ἐκ τῆς διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι. νυκτός τ᾽ ἐπιγενομένης, ἐχώρησαν ἐπ᾽ οἴκου. ἀντὶ τοῦ κυρωθέντος,

B λήχωνα διὰ τοῦ. β. οὐ διὰ τοῦ. γ. προφέρουσιν οἱ ἀττικοί. ἔχει δὲ δύναμιν αὐτὴ τοιαύτην. ἰᾶται τοὺς ἀπὸ ὀπώρας τινὸς βαρυνομένους. εἰ γὰρ εἰς ὕδωρ βρέξαντες βλήχωνα πίνοιεν, τοὺς πόνους τῶν καρδιῶν θεραπεύουσιν. ἵν᾽ οὖν ἡ δριμύτης τῆς ὀπώρας ἀποσυφθῇ ὀπὸν ἐλάμβανον βλήχωνος.

T ὁ λαὸς, καὶ ναὸς, καὶ τὰ ἐξ αὐτῶν, Μενέλαος, πρωτεσίλαος. καὶ ἁπλῶς πάντα τὰ διὰ τοῦ. αος. διὰ τοῦ. εως. προφέρουσιν. μενέλεως, πρωτεσίλεως, νεώς, λεώς. κλίνουσι δὲ πάντα κατὰ ἀποβολὴν τοῦ. σ. τοῦ Μενέλεω. τοῦ Νικόλεω.

B λέπος λέγουσι τὸ βλέμμα, ὡς παρ᾽ ἀριστοφάνει. ὡς ἔστι τοῦτο ἀττικὸν βλέπος.

K αὶ τοῦτο ἀττικὸν τὸ προσλαμβάνειν πολλάκις ἐν τῷ αὐτῷ κώλῳ τὸν ἂν σύνδεσμον, ὡς ἔστιν εὑρεῖν παρὰ πλάτωνι, καὶ παρ᾽ ἀριστοφάνει. ὡς ἐν ὄρνισιν. ἡ δὲ ἑλλὰς ἂν διερημωθεῖσ᾽ ἂν ἡμᾶς ἔλαθεν.

A ττικῶν δὲ καὶ τὸ τὴν. εν. πρόθεσιν καὶ. εις. συντάττειν μετὰ γενικῆς. οἷον ἐν ἅδου καὶ εἰς ἅδου. καὶ οἶμαι ἐνταῦθα ἐλλείπειν τὰς προθέσεις τῶν ὀνομάτων. ὁποῖον ἐστι καὶ τὸ ἐν διδασκάλου. ἀττικῶν ἐστι καὶ τὸ ἀνανταπόδοτον ὡς θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς κατ᾽ ἀρχάς. καὶ εἰ μὲν ξυμβῇ ἡ πεῖρα, εἰ δὲ μὴ μιτυληναίοις εἰπεῖν, ναῦς τε παραδοῦναι, καὶ τείχη καθελεῖν μὴ πειθομένων δὲ πολεμεῖν. λείπει τὸ καλὸν ἔσται. καὶ ὅμηρος. ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγά-

ignis depascebantur oīa. & apud Aristophanē meā sniam, p ſm sniam meam. & Thucydides in .iii. historia. & plurimam turbam leuis armaturæ arcebant, quo min⁹ pdeūtes armis ppinqua urbis male haberēt. p pter, ne male haberēt. gnaliter aūt defectus atticorum sunt. ut per singulos. deest, dies. & in breui, deficit enim tēpore, uel sermone. & in momento, tale est. & si age fac periculum, ut cognoscant & hi. deest, si uis. si uis enī ait, fac periculum. Et incidens ambabus. deest manib. & apud Aristophanem. Vnde mortalis me percussit o rex Hercules. deest enim uox, uel odor.

Atticoꝝ aūt & noīatiuū p genitiuo accipere, ut apud Aristophanē in Lysistrate. Dictumq; ipsis accurrere huc consulturis non de re nequam dormiunt, & non ueniunt, pro dicto. Et Thucydides in quarto. sancitum autem nihil ex differentia, quando oportet ingruere, noctēq; adueniente regressi sunt domum, pro sancito.

Pulegium per. β. non per. γ. proferunt attici. habet autem uim ea hærba huiusmodi. medeť eis q ex fructu aliquo grauiter se habēt. si enī aqua madefactum pulegium biberint, dolores cardiacos curant. ut igitur acredo fruct⁹ exacerbaŕ desineret, succū assumebāt pulegii.

Populus, & tēplū, & q̄ ex ipsis, Menelaus, protesilaus, & generaliter omnia quæ per. αος. per. εως. proferunt. meneleos, ptesileos, tēplū, populus. declinant aūt oīa per abiectionem. σ. huius meneleo, Nicoleo.

Obtutus dicūt obtutus, ut apud Aristophanem. ut est hic atticus obtutus.

Et hoc atticum, assumere sæpe in eodem membro. αν. coniunctionem, ut est inuenire apud Platonē, & apud Aristophanē. ut in auib. Græcia desolata nos fefellisset.

Atticoꝝ ēt & hoc. εν. ppositionē. & εις. construere cum genitiuo. ut in orci, & ad orcum. & puto hic deesse præpositiones nominū, quale est & in magistri. Atticorum est & nō rn̄dere antecētib⁹ ut Thucydes in tertia historia statim in principio. & si succedat conat⁹, sin minus Mitylenæis dicere, nauesq; traderēt, & mœnia deiicerēt, nō parētib. āt bellū īferrēt. deest. n. bene erit. & Hom. sed si dabūt hōestamētū ma-

θυμοὶ ἀχαιοί. λείπει τὸ παύσομαι, ἢ ἡσυχάσω. τὴν πρεσβείαν, πρέσβευσιν, καὶ τὴν καταβοὴν, καταβόησιν. καὶ τὴν ἀγάπην, ἀγάπησιν λέγουσι. καὶ μᾶλλον ὁ θουκυδίδης. καὶ τοῦτο κενοπρεπὲς καθόλου, καὶ ἀττικόν. ὡς παρὰ δημοσθένει. ὑμεῖς δ᾽ ὁ δῆμος κάθησθε ἐκνενευρισμένοι. καὶ ὅμηρος. ὣς φάσαν ἡ πληθύς.

Καὶ τὸ διαιρεῖν τὸ οὐδὲν ἀττικῶν ἐστιν. ὡς ὁ θουκυδίδης ἐν τῇ δευτέρᾳ. ἔθνησκον δὲ, οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι. οὔτε οὖν δὲ ἓν κατέστη ἴαμα ὡς εἰπεῖν, ὅτι χρὴ προσφέροντας ὠφελεῖν. ἀντὶ τοῦ οὐδέν.

Καινοπρεπὲς δὲ καὶ τοῦτο λεγέσθω σοι, τὸ λέγειν εὐκτικὰ ἀντὶ ὁριστικῶν. ὅπερ ἐστὶν ἀττικόν. ὡς ὁ θουκυδίδης. τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν ἃς καταδύσειαν, ἀντὶ τοῦ κατέδυον.

Καὶ τὸ χρῆσθαι τῷ οὐδὲν μᾶλλον, ἀντὶ οὐ, τῆς ἀττικῆς διαλέκτου χαρακτήρ. αὐτίκα γὰρ ὁ συγγραφεὺς ἐν τῇ δευτέρᾳ. ἀλλ᾽ αἵ τε ἐσβολαὶ εἰς τὴν ἀττικὴν πελοποννησίων οὐδὲν μᾶλλον τοὺς ἀθηναίους ἀπανίστασαν, ἀντὶ τοῦ οὐκ ἀπανίστασαν.

Ἔτι τὸ δένδρος λέγεται παρ᾽ αὐτοῖς. ὡς ὁ θουκυδίδης. καὶ πρῶτα μὲν περιεσταύρωσαν αὐτοὺς τοῖς δένδρεσιν, ἃ ἔκοψαν, τοῦ μηδένα ἐπεξιέναι. καὶ ὅμηρος. δενδρέῳ ἐφεζόμενοι. τούτου γὰρ ἡ εὐθεῖα τὸ δένδρος. καὶ κλίνεται τοῦ δένδρεος, ἡ δοτικὴ τῷ δένδρεϊ. καὶ κατὰ μεταπλασμὸν, δενδρέῳ.

Καὶ ἀντὶ τῶν θηλυκῶν, ἀρσενικῶν ὀνομάτων κέχρηνται λέξεσι. καὶ ὅμηρος. κλυτὸς ἱπποδάμεια. καὶ παρὰ εὐριπίδῃ ἐν ἑκάβῃ. τὸ δ᾽ αὖ λίαν παρεῖλες ἀγγελθεῖσά μοι γενναῖος. ἀντὶ τοῦ γενναία.

Τὸ ὅσαι ἡμέραι ὁσημέραι λέγουσι. καὶ μόλις, μόγις.

Ἀντὶ δοτικῆς ἠγαπήκασι τὴν αἰτιατικήν. ὡς ὁ θουκυδίδης. εἰ οὖν τί σε τούτων ἀρέσκει πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλατταν. ἀντὶ τοῦ σοί. καὶ σοφοκλῆς. οὐ γάρ μ᾽ ἀρέσκει γλῶσσά σου τεθηγμένη. ἀντὶ τοῦ οὐ γάρ μοι. καὶ ἄλλα εὕροις ἂν μυρία τῶν λεγομένων παραδείγματα, καὶ παρ᾽ ὁμήρῳ, καὶ πᾶσι τοῖς ἀττικισταῖς. τῆς νηὸς, ἧς εὐθεῖα ἡ ναῦς, τὸ η εἰς ε τρέποντες, καὶ τὸ ο μικρὸν εἰς ω μέγα ἐκτείνοντες, νεὼς γράφουσί τε, καὶ φθέγγονται.

Τῶν ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένων διὰ τοῦ. εος. γενικῶν, τὸ ος ἐκτείνουσιν ἀττικοί. πηλέως, καὶ οἰνέως λέγοντες. τὸ δὲ, ὦ ἀχιλλεῦ πηλέος υἱὲ μέγα φέρτατ᾽ ἀχαιῶν παρὰ τοῖς ποιηταῖς ἐκφερόμενον, τῆς κοινῆς ἐστι διαλέκτου.

gnanimi achiui. deest desinam, uel quiescã. legationẽ, legationẽ. & inclamationẽ, nẽ & dilectionem, lectionem dicunt. & magis. Thucydides. & hoc nouum generaliter, ac atticum. ut apud Demosthenẽ. Vos aũt populus sedetis eneruati. & Homerus. sic dixerunt multitudo.

Et diuidere nihil atticorũ est. ut Thucydides in secũdo. moriebantur aũt alii negligẽtia, alii etiã si ualde curarẽt. unũq; ñ qcq̃ cõstitutũ ẽ r̃mediũ ut si di qđ r̃mediũ opõtẽt adhibẽteis iuuar̃. p(xerl nihil.

Nouum & hoc dicatur tibi, dicere optatiua ꝑ indicatiuis. qđ est atticum. ut Thucydides. scyphos autem non trahebant, alligantes nauibus, quas submersissent, pro submerserunt.

Et uti nihil magis, pro non, atticæ linguæ nota. Statim enim historicus in secunda. sed irruptiones in atticam peloponnesiorum nihil magis athenienses reuocabant, pro non reuocabant.

Item arbor dicitur apud ipsos. ut Thucydides. & primum cratibus arborum ipsos uallauerunt, quas inciderunt, ne qsq̃ amplius exiret. & Homerus. arbore insidentes. huius autem rectus arbor. & flectitur arboris. datiuus, arbori. & per transmutationem, arbori.

Et pro fœmininis, masculinorũ noĩum utunt̃ dictionib. & Homer⁹. inclytus hippodameia. & apud Euripidẽ in hecuba. nimietatem abstulisti nuntiata mihi generosus, pro generosa.

Quotidie, quotidie dicunt. & uix, uix.

Pro datiuo amant accusatiuum, ut Thucydides. Si igitur quid te horũ placet, mitte uirum fidum ad mare. pro tibi. & Soph. non. n. me placet lingua tua acuminata, pro non. n. mihi. & alia inuenias infinita eorũ, q̃ dicimus exempla, & apud Homerum, & omnes atticæ lĩguæ auctores. Nauis cui⁹ rectus nauis. η in. ε. uertentes, & ο paruum in. ω. magnum producentes nauis, scribũtq; , & proferunt.

Genitiuorum in εος, qui a rectis in. ευς. fiunt, ως. producunt attici. pelei, & œnei dicentes. Illud autem o Achille pelei fili longe fortissime achiuorum apud poetas prolatum communis est linguæ.

Τὸ ἄνευ

Τὸ ἀνύειν, ἀνύττειν φασίν· ὡς Ἀριστοφάνης ἐν ὄρνισι· μάτην ἄρα τὴν ὁδὸν ἀνύττομεν. καὶ Θουκυδίδης· καὶ εἴ τι ἄλλο ἀνύττειν μέλλει ἐπιβαλλόμενον ἐν τῇ τρίτῃ τῆς συγγραφῆς. Τὸ ι ἐν τισι τῶν λέξεων προστιθέασιν. οἷον τουτοΐ. τουτονί. οὗτος. νυνί.

Καὶ τὸ εἶεν παρέλκειν παρ' αὐτοῖς ἐγνωρίσαμεν. ὡς καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ ὀγδόῃ. καὶ τὸ μὲν ἐπ' ἐκείνοις εἶεν, καὶ ἄκριτοι καὶ βιαιότεροι ἀποθνήσκοιεν.

Αἱ ἐξαιρέσεις τοῦ ι τῶν ἀττικῶν εἰσιν ἴδιαι. ἑτάρων γάρ φασιν ἀντὶ ἑταίρων. εὗρον δ' ἐγὼ ὅτι καὶ δωριέων, καὶ αἰολέων εἰσίν. καὶ ἀντὶ τοῦ κλαίειν, κλάειν λέγουσι. καὶ τὸ ποιεῖν, ποεῖν. καὶ τὸ ποίημα, πόημα.

Καὶ τὸ ὡς παρ' αὐτοῖς παρέλκειν νενόμισται. ὡς ἐν τῇ ὀγδόῃ πεποιηκὼς Θουκυδίδης εὑρίσκεται. καὶ γὰρ ὡς αὐτοῖς οὐδὲν ἔμελλε χρήσεσθαι. ἀντὶ τοῦ αὐτοῖς.

Τῇ εἰς πρόθεσιν, ἐς λέγουσιν. ἐς Χρύσαν, ἐς πατρίδα προφέροντες. καὶ ἀντὶ τῆς πρός, τῷ ὡς χρῶνται. ὡς τὸν θεὸν λέγοντες. καὶ ὡς τὸν διδάσκαλον. ἀντὶ τοῦ πρὸς τὸν θεόν, καὶ πρὸς τὸν διδάσκαλον.

Τὸ δὲ ἀντὶ τοῦ δή πολλάκις κέχρηνται ὡς ἐν τῇ ὀγδόῃ· κεφαλαιοῦντες, μάλιστα δὲ ὡς ἐξείη αὐτοῖς τὸν Ἀλκιβιάδην καταγαγοῦσι. καὶ μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις βασιλέα τε ξύμμαχον ἔχειν. καὶ Πελοποννησίων δὲ, περιγίνεσθαι. ἐνταῦθα γὰρ τὸ μάλιστα δὲ, καὶ Πελοποννησίων δὲ, ἀντὶ τοῦ δὴ παρελήφθησαν ἐν τῷ Θουκυδίδῃ.

Οὗτοι καὶ τῇ αἰτιατικῇ, καὶ τῇ εὐθείᾳ χρῶνται, ἀντὶ πλαγίας συντάξεως. ὡς ἐν τῇ ὀγδόῃ Θουκυδίδης. ἀλλήλοις γὰρ ἅπαντες οἱ τοῦ δήμου ὑπόπτως προσῄεσαν, ὡς μετέχοντά τινα τῶν γιγνομένων. ἐν δὲ τῇ τρίτῃ τῇ εὐθείᾳ ἀντὶ γενικῆς οὕτως ἐχρήσατο. οἱ δὲ Ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες, ὡς ἑώρων, ἀπήγγειλαν οἱ στρατηγοί. ἀντὶ τοῦ τῶν Ἀθηναίων καταπλευσάντων. Ὅμηρος· οἱ δὲ δύο σκόπελοι ὁ μὲν οὐρανὸν ἀμφὶς ἱκάνει. καὶ ὁ Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν· ὁ Πρωτεὺς ὁ Φάριος τὸ θαῦμα τὸ ἑλληνικόν. πολλαὶ μὲν αὐτοῦ, καὶ πολυειδεῖς αἱ μορφαί. δαίμονες δὲ μετέωροι ἡμέρα ἐπὶ τῷ πάθει τοῦ υἱοῦ πενθοῦσιν ἀντὶ τοῦ τῶν δὲ μετεώρων δαιμόνων.

Καὶ ἀντὶ τῶν μετοχῶν ἀττικοὶ τοῖς ῥήμασι κέχρηνται. καὶ ἀντὶ ῥημάτων ἐναλλὰξ μετοχαῖς. ὡς Θουκυδίδης. ὁ δὲ χρηματίσαιτο ἀφείς, ἀντὶ τοῦ ὁ δὲ ἀφῆκε χρηματισόμενος. καὶ τὸ ἢ παρέλκει ἐν τοῖς ἀττικοῖς. ὡς ἐν τῇ ὀγδόῃ Θουκυδίδης εὑρίσκεται. ὡς τοῦ ἰδίου πολέμου μείζονος, ἢ ἀπὸ τῶν πολεμίων οὐχ ἑκάς, ἀλλὰ πρὸς τῷ λιμένι ὄντος.

Τὸ ἀλλὰ ἀντὶ παρακελευσματικοῦ πολλάκις

Peragere, pagere dicūt. ut Aristophanes in auib. frustra ergo uiam peragimus. & Thucydides. & siqd aliud pacturus sit capessens, ut in tertia historia. ī in quibusdam dictionib. addunt. ut hoc. hunc. hic. nunc.

Esse ēt uerbū abūdare apud eos cognouimus. ut apud Thucydidem in octaua. & quantum in illis erat, & īdemnati, & coactiores morerentur.

Ablationes τοῦ ι atticorum sūt propriæ, sociorū enī dicūt, ꝓ sociorū. Inueni autem ego, quod & doriēsiū, et æolensium sūt, & ꝓ plorare, plorare dicunt, et facere, facere & poema, poema.

Vt ēt apud eos supabūdare solitū est. ut in octaua fecisse Thucydides inuenitur. & enim ut ipsis nihil erat usurus, pro ipsis.

Ad ꝑpositioné ad dicūt. ad Chrisan, ad patriā proferentes, & pro ad, ad utuntur. ad deum dicentes, & ad præceptorem. pro ad deum. & ad præceptorem.

Autem pro tum sæpe utuntur. ut in octaua, colligentes, maxime, autē quod diceret ipsis Alcibiadē deducētib. et non eodem reipub. statu degentibus, cum rege socium habere. peloponnesios aūt uincere. hic enim maxime autem, & peloponnesios autem, pro tum uero accepta sunt in Thucydide.

Hi et accusatiuo, et recto utuntur, pro aliqua constructione, ut in octaua thucydides. Inter se enim omnes plebei suspecte accedebant, tanq̄ participem aliquem rerum gestarum. in tertia uero recto. pro genitiuo sic usus est. Athenienses autem non multo post deuecti, sicut uidebāt, annunciauerunt prætores, ꝓ atheniensib. deuectis. Home. duo scopuli, alius ad cœlum latum peruenit. & Philostratus in uitis dicendi magistrorū. Proteus ille Pharius, miraculum græcū, multæ quidem ipsius, et multiformes species. itē deæ autē sublimes aurora quidem ob letū filii lugens, pro sublimium dearum.

Et pro participiis attici uerbis utuntur. et pro uerbis uicissim participiis. ut Thucydides. ille colligeret pecuniā dimittēs, ꝓ ille dimisit collecta pecunia. & quā abundat in atticis. ut in octaua thucydides inuenitur. tanquā priuato bello maiore, quā ab hostib. non longe, sed ad ipm portū existente.

Sed coniunctionem pro hortatiuo sæpe

τεθέασιν· ὡς καὶ παρ' ὁμήρῳ. ἀλλά γε μηκέτι ταῦτα λεγώμεθα.

Τὸ παραλαμβάνειν τὰς αἰτιατικὰς πτώσεις ἀντὶ γενικῶν, ἀττικῶν ἐστιν ἴδιον. οἷον μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην, ἀντὶ τοῦ ἀπὸ τούτου.

Καὶ ἐκφέρειν τὰς κλητικὰς ἀντὶ εὐθειῶν. νεφεληγερέτα ζεὺς ἀντὶ τοῦ νεφεληγερέτης.

Τὸ λαμβάνειν τὰς δύο ἀποφάσεις ἀντὶ μιᾶς καταφάσεως ἀττικῶν ἐστι. θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς. ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν ἑλλήνων, ἀντὶ τοῦ ἐπὶ ἐλευθερίᾳ. εἰ γὰρ καὶ μία ἐστὶν ἡ ἀπόφασις ἡ. ου. ἀλλὰ ἡ καταδούλωσις τρόπον τινὰ ἀπόφασίς ἐστι, στέρησις τῆς ἐλευθερίας τυγχάνουσα, καὶ ἐναντιούμενον τῷ τῆς ἐλευθερίας ἀξιώματι. ὡς ὅμηρος. ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' ἀχαιῶν, ἀντὶ τοῦ ἀνδρεῖος.

Καὶ θηλυκῶς τι λέγειν εἰώθασιν· εἶτα ἐπάγειν οὐδέτερον, οὐ πρὸς τὴν φωνὴν ἀποδιδόντες, ἀλλὰ πρὸς τὸ σημαινόμενον. ὡς ὅμηρος. νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη· τὸ μὲν οὔποτε λήγει. ὡς πρὸς νέφος γὰρ ἀπήντησε. καὶ ὁ θουκυδίδης. ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς ἀθηναίοις· λεγόμενον μὲν πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ λῆμνον, καὶ ἐν ἄλλοις χωρίοις. λεγόμενον γὰρ εἶπεν ἀπηντηκὼς πρὸς τὸ νόσημα.

Τὰς ἀπὸ τῶν εἰς. ευς. εὐθειῶν εἰς. εις. πληθυντικὰς διὰ τοῦ. η. γράφουσι βασιλῆς. ἱππῆς· καὶ τρέπουσι τῆς. ει. διφθόγγου τὸ. ε. εἰς. η. ἐνίοτε καὶ τὸ. ι. προσγράφουσι. κλεῖδα, κληΐδα. ποσείδαον, ποσηΐδαον.

Καὶ τὴν. ου. ἀπόφασιν περιττὴν πολλάκις λαμβάνουσιν. ὡς ὁ θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς. ὠμὸν τὸ βούλευμα, καὶ μέγα πόλιν ὅλην διαφθεῖραι, ἢ οὐ τοὺς αἰτίους, ἀντὶ τοῦ παρὰ τοὺς αἰτίους. καὶ ὅμηρος. οὐ μὰ γὰρ ἀπόλλωνα διὶ φίλον. καὶ μή τοι οὐ χραίσμῃ σκῆπτρον. κἂν τῇ συνηθείᾳ δὲ πολλάκις ἀποφάσεσι χρώμεθα. ὡς τὸ ἀπαγορεύω σοι μὴ ποιεῖν, ἀντὶ τοῦ ἀπαγορεύω σοι ποιεῖν. καὶ ὁ θεολόγος. καὶ ὃν οὐ προδώσομεν οὐδὲ καθυβρίσομεν, οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς ἀγῶνας, καὶ τὰ παλαίσματα.

Καὶ ἡ πρὸς παρέλκειν τούτοις νενόμισται. ὡς ὁ θουκυδίδης. καὶ πρὸς αὐτῶν τῶν ἀθηναίων ἐγένετο· ἀντὶ τοῦ αὐτῶν τῶν ἀθηναίων. καὶ ὁ ἀφθόνιος. τοιαῦται γὰρ ἀρεταὶ πρὸς βίαν ἔχουσι κτώμεναι, ἀντὶ τοῦ βίαν.

Περιττὸς δὲ καὶ ὁ καὶ σύνδεσμος παρὰ σφίσιν· καὶ τούτου μυρία παραδείγματα ἐστὶν εὑρεῖν. αὐτίκα ἐν τῷ τρίτῳ τὸν συγγραφέα ἐστὶν ἰδεῖν τούτῳ χρώμενον· φησὶ γάρ. οἱ δὲ φόβῳ πολλῷ καὶ πεφοβημένοι, τάτε

ponunt.ut apud Home. Sed non amplius hæc dictitemus.

Et accipere accusatiuos casus ꝑ genitiuis atticorum est proprium.ut neq; tu hunc bonus quáuis sis aufer puellam,pro ab hoc.

Et proferre uocatiuos pro rectis.nubigrega Iuppiter,ꝑ nubigrega.

Accipere duas negationes pro una affirmatione atticorũ est.Thucydides in tertia historia.Socii tamen fuimus non ad seruitutem græcorum,pro ad libertaté.tam et si enim una est negatio,non,at seruitus quodá modo negatio est,priuatio libertatis cum sit,et contraria libertatis dignitati.ut Homerus. qm̃ nõ ipm̃ uilissim⁹ uulnerauit achiuorũ,pro fortis.

Et fœminine quid dicere cõsueuerunt,neutrũ,nõ ad uocé redden (inde inferre tes,sed ad significatum.ut Homerus. Nebula aũt ipm̃ circũdedit nigra.hoc quidé nũquá desinit.táquá ad nebulá ei occurrit.& Theucydides.morbus primũ cœpit esse atheniésib.dictum. antea in multa loca incubuisse,& in lemno,& in aliis locis.dictum enim inquit respõdens ad morbum.

Ab in.ευς.rectis in.εις.plurales per.η.scribunt.reges.equites.& uertunt.ει.diphthongi.ε.in.η.interdum &.ι.adscribunt.clauẽ,clauẽ.Neptune Neptune.

Et nõ negationẽ superuacuã sæpe accipiunt.ut Thucydides in tertia historia.crudum consilium,& magnũ ciuitaté totá perdere,uel non authores pro potius q̃ authores.& Homerus.non per Apollinem ioui carũ.& ne tibi non prosit sceptrum.& in consuetudine sæpe negationibus utimur.ut illud.interdico tibi non facere,pro interdico tibi facere.& theologus.& qué nõ ꝑdemus,ne cõtumelia qdé afficiemus,non per uiri de uirtute certamina & luctas.

Et πρὸς ꝑpositio abũdare his cõsueuit,ut Thucydides.& de ipsis Atheniensibus fuit,pro ipsorum Atheniensium & Aphthonius.huiusmodi enĩ uirtutes ad uim habent,dum comparantur pro uim.

Superuacua etiã,& coniunctio apud eos.& huius infinita exempla est inuenire.statim in tertio historicum est uidere hoc utentem.ait enĩ.Illi autem timore multo perterriti,& quæ

ἐν τῇ

ἐν τῇ πόλει. καὶ τὸν ἀπόπλουν. παρεσκευάζοντό τε ἅμα ἑξήκοντα νῆες.

Ἀττικῶν καὶ τὰ κτητικὰ λαμβάνειν ἀντὶ πρωτοτύπων. ὡς τὸ παρθενική, ἡ παρθένος. καὶ αὐτὰ τὰ πρωτότυπα ἀντὶ κτητικῶν. ὡς τὸ γυναῖκα τεθήσατο μαζὸν, ἀντὶ τοῦ γυναικεῖον ἐθήλαξε μαζόν.

Καὶ τὸ τὰς αἰτιατικὰς παραλαμβάνειν ἀντὶ γενικῶν. ὡς Ἡσίοδος. ὅντε διὰ, ἀντὶ τοῦ δι' οὗ. καὶ ὁ θεολόγος. ὁ θυμός ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως, δι' ὃν ἐξέπεσες, ἀντὶ τοῦ δι' οὗ τινος ἐξέπεσες.

Εἰώθασι καὶ ἐν ταῖς αὐξήσεσι καὶ ἑτέρας αὐξήσεις ἐπεισάγειν. οἷον ἐβουλόμην, ἠβουλόμην. ἐδυνάμην ἠδυνάμην. παρῴνησα, πεπαρῴνησα.

Τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν παραλαμβάνουσιν. ὡς ὁ Θουκυδίδης ἐν τῷ τρίτῳ τῆς συγγραφῆς. οἵ τε γὰρ ἀφισταμένους ἐν τοῖς πολεμίοις, καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολιπόντας, οἱ δεξάμενοι, καθ' ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι. νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων, χείρους ἡγοῦνται. ἐνταῦθα γὰρ τὸ χείρους ἀντὶ τοῦ κακούς. καὶ Ὅμηρος. Ζεῦ πάτερ οὔτοι σεῖο θεῶν ὀλοώτερος ἄλλος. καὶ ὁ θεολόγος ἐν τῷ εἰς τὴν τοῦ Χριστοῦ γέννησιν λόγῳ. καὶ ὥσπερ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρά, οὕτω καὶ ἐκ τῶν λυπηρῶν ἐπανελθεῖν τὰ χρηστότερα. ἀπὸ γὰρ τῶν χρηστῶν ἦλθε τὰ λυπηρά. χρῶνται δὲ καὶ ὑπερθετικῷ ἀντὶ συγκριτικοῦ πολλάκις. ἀντὶ γὰρ τοῦ εἰπεῖν θηριωδέστερον πάντων, πάντων θηριωδέστατον λέγουσι.

Τῷ. ου. ἀντὶ τοῦ. οε. χρῶνται. ὡς ὅταν λέγωσι τοὔνδυμα. τοὔγκλημα. τοὔμπαλιν.

Τὰς εὐθείας, καὶ τὰς κλητικὰς ἐπίσης ἐκφέρουσιν. οἷον ὦ οὗτος Αἴας δεύτερόν σε προσφωνῶ.

Ἀττικῶν καὶ τὸ λέγειν ὧν ἔπαθεν ὀργὴν ἔχει. ἀντὶ τοῦ ὑπὲρ ὧν ἔπαθεν. ἔξωθεν λαμβανομένης τῆς ὑπὲρ προθέσεως.

Ἀττικῶς ἐκφέρεται διὰ τῆς. ει. διφθόγγου τῶν παθητικῶν τὰ δεύτερα πρόσωπα, ὡς τὸ ζηλωτὸς ἔσει, ἀντὶ τοῦ ἔσῃ. καὶ τὸ λαβέ ἀντὶ τοῦ λάβε.

Ἀττικῶν ἐστι καὶ τὸ ᾔδειν, ἀντὶ τοῦ ᾔδει. καὶ ἐτετύφειν, ἀντὶ τοῦ ἐτετύφει. χρῶνται γὰρ αὐτοῖς ὑπερσυντελίκων τοῖς πρώτοις προσώποις ἀντὶ τρίτων.

Ἀντὶ αἰτιατικῆς γενικὴν παραλαμβάνουσιν. ὡς Ἀριστοφάνης. ἕως συντρίβῃ τῆς κεφαλῆς, ἀντὶ τοῦ τὴν κεφαλήν.

Καὶ τὸ εἰς κεφαλὴν πεσεῖν, κατακάρα λέγουσιν Ἀττικοί, οὐ διῃρημένως, ἀλλ' ἐφ' ἕν. ὡς Πίνδαρος. οἱ μὲν κατακάρα δεσμοῖσι δέδενται, ἀντὶ τοῦ εἰς κεφαλήν.

in urbe. et profectionē, apparabanturq́; simul sexaginta naues.

Atticorū aūt & possessiua accipere, pro primitiuis, ut illud uirginea, uirgo. & ipsa primitiua pro possessiuis. ut mulierem suxit mammam, pro muliebrem lactuit mamillam.

Et accusatiuos accipere pro genitiuis. ut Hesiodus. quē ꝑpter, pro per quem. et theologus ira sit tibi cōtra solum serpentem, propter quem cecidisti, pro per quem cecidisti.

Cōsueuerūt etiā ī augmētis & alia augmenta inducere, ut uolebam, uolebam. poterā, poterā. debācchatus sum, debancchatus sum.

Et cōparatiua ꝑ simplicibus accipiuut ut Thucydides in tertia historia. deficientes enim in bellis, et societatem pristinam derelinquentes, qui admiserunt, quatenus iuuantur, id ī uoluptatē habēt, existimātes aūt eē ꝑditores priorū amicorū, peiores arbitrantur. hic enim peiores pro malos. et Hom. Iupiter pater non te deorū ꝑniciosior alius. et Theologus in sermone in christi natalem. et sicut ex meliorious ueniunt tristia, sic et ex tristibus uenire meliora. a bonis enim uenerunt tristia. Vtuntur autem et superlatiuo pro comparatiuo sæpe. ubi enim dicēdum bestialius omnibus, omnium bestialissimum dicunt.

ου. pro. οε. utuntur. uelut cum dicūt indumētū. criminatio. e cōtrario.

Rectos et accusatiuos æqualiter proferunt. ut tu o Aiax secundum te appello.

Atticorū ēt dicere quorū passus ē iram habet. i. pro iis quæ passus est. deforis accepta pro præpositione.

Attice proferuntur per. ει. diphthōgum passiuorū secundæ personæ, ut beabilis eris, pro eris. et accipe, pro accipe.

Atticorū est et noueram, ꝑ nouerat. et uerberaueram, ꝑ uerberauerat. utunť enim in plusquā perfectis primis personis pro tertiis.

Pro accusatiuo genitiuum accipiunt. ut Aristophanes. donec cōtritus capitis, pro caput.

Et in caput cadere, per caput dicunt attici, non diuisim, sed sub uno accētu. ut Pindarus. hi per caput uinculis ligati sunt, pro in caput.

Ἀττικῶν δὲ καὶ τὰ πληθυντικὰ ἑνικῶς ἐκφέρειν. οἷον ἀντὶ τοῦ εἰπεῖν τοὺς λακεδαιμονίους λέγειν τὸν λακεδαιμόνα. ὡς ὁ ῥήτωρ ἐν τοῖς φιλιππικοῖς. ἀλλὰ μὴν τόνγε παίονα. ἀντὶ τοῦ τοὺς παίονας.

Ἀττικῶν καὶ τὸ λέγειν βαδιστέα, ἀνυστέα. ἀντὶ τοῦ βαδιστέον, καὶ ἀνυστέον.

Καὶ τὰ προστακτικὰ παρ' αὐτοῖς λείπει. ὡς παρ' ἀριστοφάνει. ὦ ζεῦ διόπτα, καὶ κατόπτα πανταχῆ σκευάσασθαι μ' οἷον ἀθλιώτατον. λείπει γὰρ τὸ ποίησον.

Βόλιτον ἀττικοὶ λέγουσι χωρὶς τοῦ. β. ὅπερ ἡμεῖς βόλβιτον λέγομεν, ἤγουν τὴν κόπρον.

Ἀττικὸν καὶ τὸ θέλει, ἀντὶ τοῦ δύναται. ὡς ὁ πλάτων. τὰ χωρία οὐδέν μ' ἐθέλει διδάσκειν.

Καὶ τὸ ἀντὶ εὐθείας αἰτιατικὴν παραλαμβάνειν, ὡς ἀριστοφάνης ἐν ὄρνισιν. ὡς τὸ δεινόν γε τὸν κήρυκα τὸν παρὰ βροτοὺς οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν. ἀντὶ τοῦ δεινόν γε εἰ μὴ νοστήσει πάλιν ὁ κήρυξ ὁ παρὰ βροτοὺς οἰχόμενος.

Τὴν κράμβην κοράμβην λέγουσι. τοῦτο δὲ εἰκότως. φασὶ γὰρ ἐκ ταύτης τὰς κόρας ἀμβλυώττεσθαι.

Ἀττικῶν καὶ τὸ λέγειν τοῦ θράσους, τῆς ἀναιδείας, ἀντὶ, τοῦ ὦ τοῦ θράσους. φεῦ τῆς ἀναιδείας. καὶ παρ' ἀριστοφάνει. ὦ ζεῦ τῆς λεπτότητος τῶν φρενῶν.

Καὶ τὸ χρῆσθαι ταῖς μετοχαῖς ἀντὶ ὀνομάτων. ὡς ἐν βατράχοις ἀριστοφάνης. εἴπω τι τῶν εἰωθότων ὦ δέσποτα. ἀντὶ τοῦ τῶν ἐθίμων. καὶ ὅμηρος τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα. ἀντὶ τοῦ πινυτός.

Ἀττικῶν καὶ τὸ εἰπεῖν περὶ τοῦδε εἰπέ. σχηματίζειν οὕτως. εἰπὲ τόνδε, ἀντὶ τοῦδε. καὶ ἀριστοφάνης ἐν ἀχαρνεῦσιν. ἀλλὰ νῦν λέγε εἴ σοι δοκεῖ τὸν λακεδαιμόνα αὐτὸν ὅτῳ τρόπῳ σοῦ φίλον. ἤγουν περὶ τῶν λακεδαιμονίων αὐτῶν.

Ἀττικῶν καὶ τὸ πλεῖον, ἀντὶ τοῦ πλέον. καὶ τὸ κάταντες, καὶ πάμαλα, καὶ τὸ, ἦ δ' ὅς.

Καὶ τὸ τιθέναι τὸ ἢ περισσόν. ὡς ἀριστοφάνης ἐν βατράχοις. ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶ παρέχειν τινὰ πείθει. ἢ κατὰ πλᾶ τῶν ἑκαταίων κυκλίοισι χοροῖσιν ὑπάδων. ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν εἶτ' ἀπο (τρώγει.

Καὶ τὸ ληρεῖς ἔχων, καὶ τὸ παίζεις ἔχων. ἀττικῶν.

Τὸν πνεύμονα, πλεύμονα, λέγουσιν. καὶ τὸ νίτρον, λίτρον. καὶ τὴν σπογγίαν, σπογγιάν.

Ἀττικῶν καὶ τὸ ἐκθλίβειν ἅμα, καὶ κιρνᾶν. ὡς τὸ οὐ γάρ μ' οὖστιν, ἀντὶ τοῦ οὐ γάρ μοι ἐστίν. ἐκθλίβει γὰρ τὸ. ι. καὶ κιρνᾷ τὸ. ο. καὶ. ε. εἰς τὴν. ου. δίφθογγον. ὡς τὸ ἐχρύσοες, ἐχρύσους. ὡσαύτως τὸ ποῦ ἐστι, ποῦ 'στι λέγουσι.

Καὶ τὸ ἤνεγκα διχῶς λέγουσι, καὶ ἤνεγκον. καὶ τὸ ἐλλειπτικῶς ὀμνύειν. οἷον μὰ τόν, μή

Atticorum aũt & pluralia singulariter p̃nunciare. ut ubi dicendum lacedæmonios dicere lacedæmoné. ut orator in philippicis, sed tamen pæonem pro pæonas.

Atticorum etiam dicere eũda, festinanda. pro eundem, festinandum.

Et imperatiua apud eos deficiunt. ut apđ Aristophané. o iupiter p̃spector, & ĩspector oĩ ex parte apparari, meq̧ miserrimum. deest. n. fac.

Bolitum attici dicunt sine. β, quod nos bolbitum dicimus, uidelicet stercus.

Atticum etiam uult, pro potest. ut Plato. prædia nihil me uolunt docere.

Et pro recto accusatiuum assumere, ut Aristophanes in auibus. Quã graue præconem ad mortaleis. profectum, si nunquã redibit rursus, pro nisi redibit rursus præco ad mortales profectus.

Brassicam, brassicã dicunt. hoc uero iure. aiunt enim ex hac pupillas hebetari.

Atticorum etiam dicere temeritatis, impudentiæ, pro o temeritatem. heu q̃ ĩpudẽtia. & apud Aristop. o iupiter subtilitatem ingenii.

Et uti participiis pro nominibus. ut in ranis Aristophanes. dicam quid ex consuetis o here, pro ex consuetis. & Hom. hũc ãt rursus telemach⁹ cordat⁹ uicissim affatus est. pro prudens.

Atticorum ẽt, & si uelis dicere de hoc dic. formare sic. dic hunc, pro de, hoc. & Aristophanes in acarnẽsib. sed nunc dic, si tibi uidetur, lacedæmoniũ ipsum quo tibi amicum, uidelicet de lacedæmoniis ipsis.

Atticorum etiam plus, pro plus. & decliue, & ualde. & inquit ille.

Et ponere uel supuacuũ, ut Aristopha. in ranis. uel pecunias aduersariorũ nauib. p̃bẽdas alicui suadet, uel oppedit lunaribus cũ circularib. choris subcãtat. uel mercedes poetarum, rhetor licet sit tñ deuorat.

Et nugaris hñs, & iocaris habens, atticorum.

Pulmonem, pulmonem dicunt, & nitrũ, nitrũ. & spõgiã, spongiam.

Atticũ etiã elidere simul, & cõtrahere. ut nõ. n. mihi est, pro non. n. mihi est. elidit enim ι, & contrahit. o. &. ε. in. ου. diphthongum. ut inaurabas, inaurabas. itidem ubi est, ubi est dicunt.

Et tuli bifariam dicunt. & tuli, & defectiue iurare, ut non per. non

προσιόντες

προσιθέντες τὸν θεόν.

Καὶ τὸ προσλαμβάνειν δὲ ἔξωθεν τό ἐστι. καὶ ὅμηρος, εἰ δ' ἤδη τεθνᾶσι. καὶ ἐν ἀΐδαο δόμοισι, λείπει γὰρ τὸ εἰσί.

Τὰς μυῤῥίνας, μυρσίνας λέγουσι. καὶ τὸ συρίζειν, συρίττειν. καὶ τὴν ἐνδελέχειαν, ἐντελέχειαν, καὶ κολόκυνταν, κολόκυνθαν.

Τὸ κναφεῖον, γναφεῖον λέγουσι. καὶ τὴν κεφαλαλγίαν, κεφαλαργίαν.

Ἀττικὸν καὶ τὸ ἀντὶ πλαγίας χρῆσθαι τῇ εὐθείᾳ. ὡς ἀριστοφάνης ἐν βατράχοις. εἴτις πτερώσας λεώκριτον κινησία. ἀντὶ τοῦ τινὸς πτερώσαντος.

Τὰς εἰς ως ἐπιῤῥήματα τῆς μεσότητος εἰς ον περατοῦσι, δέον λέγοντες, καὶ πρέπον, ἀντὶ τοῦ δεόντως, καὶ πρεπόντως.

Τὰς εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν συγκριτικῶν ὀνομάτων εἰς ους περατοῦσιν. οἷον μείζους, χείρους, καλλίους. ἀντὶ τῶν μείζονες, χείρονες, καλλίονες. ἴδιον δὲ αὐτῶν καὶ τὰς εἰς α καθαρὸν ληγούσας αἰτιατικὰς ἀρσενικὰς τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας, διὰ τοῦ η προφέρεσθαι. εὐρυσθέα, εὐρυσθῆ. τυδέα τυδῆ. Ἀττικῶν δὲ καὶ ἀντὶ τοῦ εὐφυῆ, ὑγιῆ, εὐφυᾶ, καὶ ὑγιᾶ λέγειν. καὶ ἀντὶ τοῦ εὐβοέα, πειραιέα, εὐβοᾶ, καὶ πειραιᾶ λέγειν. φιλοῦσι δ' ὡς τὰ πολλὰ καὶ τὰς συγκοπάς. ἀπόλλω τὸν ἀπόλλωνα λέγοντες, καὶ ἀμείνω, τὸν ἀμείνονα, καὶ κρείττω, τὸν κρείττονα. καὶ τὰ ὅμοια.

Τῶν αὐτῶν δὲ καὶ τὸ εἰς ἀθήνας ἀθήναζε, πορεύομαι λέγειν. καὶ ἐν ἀθήναις ἀθήνησι. σοφιστεύω καὶ τὸ ἐξ ἀθηνῶν ἀθήνηθεν ἔρχομαι. καὶ τὸ εἰς οἶκον οἴκαδε. ἐξ οἴκου, οἴκοθεν. ἐν οἴκῳ, οἴκοι.

Ταῖς συναλοιφαῖς κατακόρως χρῶνται. τὸ γὰρ ἱμάτιον, θοἰμάτιον λέγουσι. καὶ ὦναξ. ὦ ἄναξ. καὶ ὤνθρωπος, ἀντὶ τοῦ ὦ ἄνθρωπος.

Τῷ σ ἀντὶ τοῦ ρ χρῶνται. τὸ θαῤῥαλέον, θαρσαλέον. καὶ ἄῤῥεν, ἄρσεν.

Τοῖς παθητικοῖς ἀντὶ ἐνεργητικοῖς χρῶνται ἀντὶ τοῦ γράφω, γράφομαι λέγοντες, καὶ ποιοῦμαι, ἀντὶ τοῦ ποιῶ, καὶ ποιείσθω, ἀντὶ τοῦ ποιείτω.

Καὶ ποιείσθων, καὶ νοείσθων, ἀντὶ τοῦ ποιείσθωσαν, καὶ νοείσθωσαν.

Τοὺς παρὰ τὸ ιζω μέλλοντας ἐκβάλλοντες τὸ σ περισπῶσιν. ὀνειδιῶ γὰρ λέγουσι, ἀντὶ τοῦ ὀνειδίσω. καὶ βαδιῶ, ἀντὶ τοῦ βαδίσω. καὶ τὰ παραπλήσια.

Ταῖς γενικαῖς τῶν πληθυντικῶν μετοχῶν ἀντὶ πληθυντικῶν τρίτων προσώπων προστακτικῶν ῥημάτων χρῶνται. οἷον ποιούντων, καὶ λεγόντων, ἀντὶ τοῦ ποιείτωσαν, καὶ (λεγέτωσαν.

Τὰ εἰς ις προσηγορικὰ διὰ τοῦ ιος κλινόμενα διὰ τοῦ εως προφέρουσιν, τρέποντες τὸ ο εἰς ω. καὶ τὰ παραλήγοντα τῶν

addentes Deum.

Et accipere deforis est uerbum, & Homerus si aūt iā mortui sunt. & in Ditis domib. deest .n. sunt.

Myrtus myrtus dicunt, & fistula canere, fistula canere. et continuā motionē, psectihabiā. et cucurbitam, cucurbitam.

Officinā fullonis, fulloniā dicūt. et capitis dolorem, capitis dolorem.

Atticum etiam pro obliquo uti recto. ut Aristophanes in ranis. si qs alis coniungat leocritum cinesiæ, pro si quo alis coniungente.

In. ως. aduerbia qualitatis in ον. finiunt, decens dicentes, & decens, pro decenter, & decenter.

In. ες. desinentes rectos plurales comparatiuorum nominū in. ους. finiunt. ut maiores, peiores, pulchriores, pro maiores, peiores, pl'chriores. ꝓpriū ipsoꝝ & in a purum desinentes accusatiuos masculinos ab in. ευς. rectis factos per. η. proferri. Eurystheum, Euristheum. tydeum, deum. Atticorū & ꝑ ingeniosum, sanū, īgeniosū sanū dicer̄. & ꝑ eubœum pireeū, euboeū, pireeum dicere. amant plerunqꝫ & concisiones. apollinem, apollinem dicentes, & meliorem, orem, & meliorem, meliorem. & similia.

Eorundem etiam ad athenas, athenas proficiscor dicere. & in athenis, athenis. doceo. & ex athenis, athenis uenio. & in domū, domū. ex domo, domo. in domo, domi.

Contractionib. ad sacietatem utuntur. uestem enim uestem dicunt. & o Rex o rex. & o homo, pro o homo.

Σ. pro. ρ. utuntur. fidibundum, fidibundum. & masculum. sculum.

Passiuis pro actiuis utuntur, pro scribo scribor dicentes. & fio, pro facio. & fiat, pro faciat.

Et faciant & sciant duo, faciant, & sciant plures.

Ab. ιζω. futura abiicientes σ. circunflectunt. exprobrabo dicunt, pro conuitiabor. & ibo pro ibo. & similia.

Genitiuis pluralib. participiorum pro pluralib. tertiis personis imperatiuorū uerborum utuntur. ut facientium, & dicentium, pro faciant, & dicant.

In. ις. appellatiua, quæ per ιος, flectuntur, ꝑ. εως. proferunt. uertentes o. in. ω. & quæ in penultima

φωνηέντων εἰς. ε. μεταβάλλοντες. οἷον ὄφις, ὄφιος κοινῶς, καὶ ὄφεως ἀττικῶς.

## Περὶ δωρίδος.

Οἱ δὲ δωριεῖς τὸ. ε. καὶ. ο. εἰς τὴν. ευ. δίφθογγον κιρνῶσιν ὡς παρὰ θεοκρίτῳ. πηλέος, πηλεῦς. ἰδομενέος, ἰδομενεῦς. καὶ ὅμηρος. ἰδομενεῦς κύσε χεῖρ' αὐτὴν κατὰ χειρῶν. τοῦτο καὶ ἰωνικόν.

Τὰ πρῶτα τῶν πληθυντικῶν. οἷον τύπτομεν, καὶ ποιοῦμεν, τύπτομες, καὶ ποιοῦμες λέγουσι.

Τῶν παρατατικῶν παθητικῶν ὁριστικῶν, καὶ τῶν ἐνεστώτων τὰ πρῶτα πρόσωπα. οἷον τὸ ἐποιούμεθα, καὶ ποιούμεθα, ἐποιούμεσθα, καὶ ποιούμεσθα λέγουσι. καὶ θεόκριτος. οἱ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες. τοῦτό ἐστι καὶ ἰωνικόν.

Τὸ. η. εἰς. α. μακρὸν τρέπουσι, καὶ τὴν σελήνην σελάναν λέγουσι, καὶ τὸν ἥλιον ἅλιον.

Τὸ ποτὲ πόκα λέγουσι. ὡς θεόκριτος πῆ πόκ' ἄρ' ἦσθ' ὅκα δάφνις ἐτάκετο;

Αἱ ἐπαναδιπλώσεις τῶν δευτέρων ἀορίστων τῶν δωριέων εἰσίν. ὡς θεόκριτος. τὰν γὰρ ἀοιδὰν οὔτι πω εἰς ἀΐδαν γε τὸν ἐκλελαθόντα φυλαξεῖς. ἀντὶ τοῦ λήθην ποιοῦντα.

Ἀντὶ γενικῆς τῶν ἑνικῶν τῆς εἰς. ου. ληγούσης ἀπὸ τῆς εἰς. ος. εὐθείας τῇ δοτικῇ αὐτῶν χρῶνται οἱ δωριεῖς. ὡς θεόκριτος. ἢ κατὰ πηνειῷ καλὰ τέμπεα, ἢ κατὰ πίνδω.

Τὸ κιρνᾷν τὸ. ο. ἄρθρον μεθ' ἑτέρου φωνήεντος ἤγουν τοῦ α. ἢ τοῦ. ε. εἰς ω μέγα, καὶ τῶν ἰώνων, καὶ τῶν δωριέων ἐστίν. ὡς θεόκριτος. θύρσις ὥδ' ὡξ αἴτνας, καὶ θύρσιδος ἁδέα φωνά.

Τὸ πρόσαγε, καὶ πρόσεχε, πόταγε, καὶ πότεχε λέγουσι. θεόκριτος. πραξινόα πόταγ' ὧδε.

Τὸ πρῶτος, πρᾶτος. καὶ τὸ πρώτιστον, πράτιστον. καὶ τὸ ἦλθον, ἦνθον. καὶ θεόκριτος. ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον.

Τὸ. οι. ἄρθρον τῶν πληθυντικῶν ἔχον τὴν ἑξῆς λέξιν ἀπὸ φωνήεντος ἀρχομένην διὰ τοῦ ω, μεγάλου προφέρουσιν. ἐκθλίβοντες πρῶτον τὸ. ι. τοῦ. οι. ἄρθρου. οἷον ᾡπόλοι, ἀντὶ τοῦ οἱ αἰπόλοι. ἐκθλίβουσι γὰρ τὸ. ι. καὶ κιρνῶσι τὸ. ο. καὶ. α. εἰς ω μέγα. προσγράφουσι δὲ καὶ τὸ. ι. τῆς. αι. διφθόγγου.

Ἦν δὲ ὁ διπλασιασμὸς οὐ μόνον τῶν ἰώνων, ὡς εἴρηται, ἀλλὰ καὶ τῶν δωριέων. ἔστι δὲ διπλασιασμὸς τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ τὸ μέσον οὐκ ἀποτελοῦντος συλλαβήν. οἷον μέσον, μέσσον. τόσον, τόσσον.

Τὸ καὶ εἶπα κῆφα λέγουσι τῆς. και. διφθόγγου τὸ. ι. ἐκθλίβοντες, καὶ κιρνῶντες τὸ. α. καὶ. ε. εἰς. η. τὸ δὲ ψιλὸν εἰς δασὺ τρέποντες. καὶ θεόκριτος. κῆφα δάφνι τάλαν, τί τὺ τάκεαι. ἁ δέ τε κώρα πάσαν ἀνὰ κράναν πάντ' ἄλσεα ποσσὶ φορεῖται.

uocales. in. ε. transmutantes. ut serpens, serpentis cōmuniter, & serpentis attice.

## De Dorica lingua.

Dores autem. ε. & . o. in. ευ. diphthongū cōtrahunt, ut apud theocritū. pelei, pelei. idomenei, idiomenei. & Home. idiomenei osculat⁹ ē manū ī iūctura manus. hoc & ionicum.

Primas plurales, ut uerberamus, & facimus, uerberamus, & facimus dicunt.

Imperfectorū passiuorum, indicatiuorum, & præsentium primas personas. ut faciebamus, & facimus, faciebamus, & facimus dicunt. & Teocritus mortales sumus, & cras non uidemus. hoc est & Ionicum,

H in. α. longum uertunt, & lunam, lunam dicunt, & solem, solem.

Aliqñ, aliqñ dicunt. ut Theocritus. ubi nā tūc eratis, cū daphnis contabescebat?

Geminationes secundorum indefinitorum doriēsium sunt. ut Theocritus. Cantilenā enī non unquā ad ditē obliuificum seruabis. pro obliuionem facientem.

Pro genitiuo singulari in ου. desinente ab in. ος. recto datiuo eorum utuntur dores. ut Theocritus. uel per penei pulchra arboreta, aut per pindi.

Contrahere. o. articulum cum alia uocali uidelicet. α. aut. ε. in. ω. magnum & Ionum, & doriēsiū est. ut Theocritus. thyrsis, qui ex æthna, & thyrsidis hæc uox

Ades dum, & attende adesdum, & attende dicunt. Theocritus. praxinoa adesdum.

Primus, primus. & primus primus. & uenit, uenit. & Theocritus. Venerunt bubulci, pastores, caprarii uenerunt.

Oι articulum pluralem qui habet sequētē dictionē a uocali incipiētem per. ω. magnum proferunt, elidentes primū. ι. οι. articuli. ut caprarii, pro caprarii. elidunt, enim ι. & contrahunt o. & . α. in. ω. adscribunt autem & . ι. αι. diphthongi.

Erat autem geminatio non solum ionum, ut dictum est, sed & dorienſium. Est autem geminatio eiusdem consonantis additio in medio non perficientis syllabam. ut mediū, medium, tantum tātū

Et dixit, dixit dicunt ab. αι. diphthongo elidentes. ι. & contrahentes α. & . ε. in. η. tenuē autē in aspiratā uertentes. & Theocritus. & inquit Daphni miser qd tu cōtabescis? sed puella omnē p fontem omnia nemora pedibus fertur.

Τὸ ἐκ

Τὸ ἐγένετο ἔγεντο λέγουσι συγκόπτοντες τῆς. νε. συλλαβῆς τὸ. ε. ὡς θεόκριτος. ᾧ πόλος, ὄκκ᾽ ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται, τάκεται ὀφθαλμὼς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο. ἀντὶ τοῦ ἐγένετο.

Ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ἐνεργητικῶν τὸ βοῶσι, καὶ γελῶσι, βοῶντι, καὶ γελῶντι λέγουσι. ὁμοίως τῇ δοτικῇ τῶν ἑνικῶν τῶν ἰδίων μετοχῶν. πίνδαρος. ὑπὲρ τὸν ἀληθῆ λόγον δεδαιδαλμένοι ψεύδεσιν ἐξαπατῶντι μῦθοι.

Τὸ εἶν ἔμμεναι λέγουσι πρὸ τῆς ναι τιθέντες τὸ. με. καὶ ἀντὶ τοῦ. ι. ἐντιθέντες τὸ. μ.

Τὴν ἀνὰ ἀντὶ τῆς. συν. λαμβάνουσι. καὶ ὅμηρος. χρυσέῳ ἀνὰ σκήπτρῳ. καὶ πίνδαρος χρυσέαις ἀν᾽ ἵπποις.

Καὶ τὴν σοῦ γενικὴν σέθεν λέγουσι. πίνδαρος τραπέζαισί τ᾽ ἀμφὶ δεύτατα κρεῶν σέθεν διεδάσαντο, καὶ φάγον.

Τὴν παρὰ πρόθεσιν συγκόπτουσι συμφώνου ἐπιφερομένου. καὶ ὅμηρος. οἱ δὲ θεοὶ πὰρ ζηνὶ καθήμενοι ἠγορόωντο.

Τὴν κλητικὴν τοῦ ποσειδῶνος. οἱ μὲν αἰολεῖς πόσειδον λέγουσι. οἱ δὲ δωριεῖς ποσείδαον.

Τὸ δίδου δίδοι, καὶ τὰ ἄλλα ὁμοίως τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν ἐκφέρουσι. καὶ πίνδαρος. τὺ δὲ πρᾶξιν φίλαν δίδοι.

Τὸ ἐσθλὸν ἐσλὸν λέγουσι. πίνδαρος. ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει παλίγκοτον δαμασθέν.

Τὸ πάντη περισπῶσι παντᾶ λέγοντες. καὶ πίνδαρος. πρόφαντον σοφία καθ᾽ ἕλλανας ἐόντα παντᾶ.

Λ ἰ μακουρείας εἰώθασι λέγειν τὰ τῶν νεκρῶν ἐναγίσματα. ἐκφέρουσι δὲ καὶ τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ὁμοίως ταῖς δοτικαῖς τῶν ἰδίων μετοχῶν. πίνδαρος. ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνοις. ἀντὶ τοῦ ἀναπλέκουσι.

Τὸν ὄρνιθα ὄρνιχα λέγουσι. καὶ πίνδαρος. πρὸς διὸς ὄρνιχα θεῖον.

Τὰ πληθυντικὰ πολλάκις ὁμοφώνως τοῖς δυϊκοῖς ἐκφέρουσι. πίνδαρος. μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὡς ἄκραντα γαρύετον διὸς πρὸς ὄρνιχα θεῖον.

Ταῖς μετοχαῖς τῶν ἀορίστων προστιθέασι τὸ. ι. πίνδαρος. ἐπεὶ τρεῖς τε, καὶ δέκα ἄνδρας

Τὸ τί τὰ λέγουσι. (ὀλέσαις μνηστῆρας. πίνδαρος. τάκε τις ἀνώνυμον γῆρας.

Λῖτος εἰώθασι λέγειν τὸ τέμενος. πίνδαρος. διὸς λιτεῖ πανδόκῳ, ἤτοι τὸ ἐνδιαιτήματι.

Τὸ ἐπεντιθέναι τὸ. ι. τῷ. ο. τῶν δωριέων ἐστίν. τὴν πνοὴν γὰρ πνοιὴν φασί. καὶ τὴν χροὰν χροιάν. καὶ τὴν πόαν, ποιάν. πίνδαρος. πνοιῆς ὄπιθεν βορέαο.

Ἦν ἄρα καὶ τῶν δωριέων ἡ ἄρσις ἡ ἐναντία

Fuit, fuit dicunt concidentes νε syllabæ. ε. ut theocritus, caprarius, cum uidet capras, ut ineuntur, liquescit oculis, quod non factus est hircus ipse. pro est.

In secunda coniugatione circunflexorum tertias personas pluraleis actiuorũ clamant, & rident, clamant, & rident dicunt. similiter datiuo singulari ꝓpriorũ participiorũ. Pindarus. trans uerum sermonem exornata mendaciis decipiunt uerba.

Esse, esse dicunt ante. ναι. ponentes. με. pro. ι. interponentes. μ.

Super pro cum accipiunt. & Homerus. aureo cum sceptro. & Pindarus aureis cum equis.

Tui genitiuum tui dicunt. Pindarus, mensasq; circa minutissimas carnes tuas diuiserunt, & comederunt.

Apud ꝓpositionẽ cõcidunt cõsonante sequente. & Homerus dei autem apud Iouem sedentes concionabantur.

Vocatiuum Neptuni, Aeolenses Neptune dicunt, sed dorienses Neptune.

Da da, & alia similiter tertiis personis optatiuorum pronunciant. & Pindarus. tu autẽ actionẽ amicam da.

Bonum, bonum dicũt. Pindarus bonis enim a gaudiis nocumentum occidit triste domitum.

Vbiq; circunflectunt ubiq; dicentes. & Pindarus clarum sapientia inter græcos existentem ubiq;.

Iusta solent dicere mortuorum parentationes. proferunt autem & tertias personas plurales pariter cum datiuis ꝓpriorũ participiorum. Pindarus. monilibus quorum manus nectunt, & coronis. pro nectunt.

Auem auem dicunt. Pindarus. ad iouis auem diuinum.

Pluralia sæpe, ut dualia proferunt. Pindarus. ubi uero didicerũt uehemẽtes linguacitate corui ut garritũ iouis aduers⁹ auẽ diuinã (iexpletũ

Participiis indefinitorum addunt ι. Pindarus, qm̃ treisq;, & decem uiros,

Quid. quæ dicũt. (cũ ꝑdiderit ꝓcos. Pindarus. quæ aliqs innominatã senectutẽ.

Lucũ cõsuerũt dicere locũ sacrũ. Pĩdar⁹. iouis luco hospitali, seu diuersorio.

Interponere. ι. τῷ. ο. doriensium est. flatum enim flatum dicunt. & colorem, rẽ. & herbã graniẽ, gramẽ. Pindarus. flatum pone borceæ.

Erat & doriensium ablatio contraria

τῇ ἀναδιπλώσει. πίνδαρος. ὀλύμπια μὲν
γὰρ αὐτὸς γέρας ἔδεκτο, ἀντὶ τοῦ ἐδέδεκτο.
Αἱ ἐπεκτάσεις καὶ τῶν δωριέων εἰσί: κενός
κενεός.
Τὸ ὄπισθεν ὄπιθεν λέγουσιν ἐκθλίβοντες τὸ. σ.
Τὰς γενικὰς τῶν πληθυντικῶν τὰς εἰς. ων. λη-
γούσας, καὶ περισπωμένας διὰ τοῦ. αν. προ-
φέρουσι. καὶ ἀντὶ τοῦ λέγειν μουσῶν, μουσᾶν
Τὸ μή ἐστι μῆστι λέγουσι κιρνῶν- (λέγουσι.
τες τὸ. η. καὶ. ε. εἰς. η. ὥσπερ καὶ ἀριστοφά-
νης. μῆστιν οὗτος χοῖρος.
Οἱ δωριεῖς ἀντὶ τοῦ εἰπεῖν αὐτὸν, νίν λέγουσι.
Τὸ εἶναι. ἔμμεναι. Τὸ χρὴ χρῆσθα.
Τὸ σιγᾶν, σιγῶ. ὡς ἀριστοφάνης. οὐ χρῆσθα
σιγῶ. οὕτω καὶ τὸ διψᾶν, διψῶ. καὶ τὸ
πεινᾶν, πεινῶ.
Τὸ οἴκαδε, οἴκαδες φασί, καὶ τὸ σὲ, τὺ. ὡς τὸ,
τὺ δ' ἀποισῶ ἀντὶ τοῦ σὲ ἀποκομίσω.
Τὴν πρὸς ποτὶ λέγουσιν. εἶτα καὶ τὸ. ι. ἀποκό-
πτουσι. ποτὰν ματέρα φησὶν ἀριστοφάνης.
Τὸ καὶ ἐκ τοῦ αὐτοῦ, κἠκ τοῦ αὐτοῦ φασιν ἐκθλί-
βοντες τὸ. ι. εἶτα τὸ. α. καὶ. ε. εἰς. η. κιρνῶντες
ὡς ἔζαε ἔζη, ἐκίρνα ἐκίρνη. καὶ τὰ παραπλή-
σια. τοῦτο δὲ ἀττικὸν καὶ ἰωνικόν ἐστι.
Τοῦ αὐτοῦ τ' αὐτοῦ λέγουσι. τὸ κρέας κρῆς ὀνο-
Περισπῶσι τοὺς μέλλοντας. (μάζουσι.
ἀποίσω ἀποισῶ λέγοντες.
Τὸ τιμὴν τιμὰν λέγουσι.
Τὸ παρ' ἡμᾶς παρ' ἁμᾶς.
Ἀντὶ τοῦ ὑμεῖς ὔμες ἐκφέρουσι.
Τῷ οἱ ἄρθρῳ τῆς εὐθείας τῶν πληθυντικῶν τὸ
τ. προστιθέασι, τοὶ θεοὶ λέγοντες, καὶ ταὶ
Πάσσαλον τὸν πάσσαλον λέγουσι. (μοῦσαι.
Τὸ ὅκκα ἀντὶ τοῦ ὁπηνίκα. καὶ ὁπότε καὶ
ὅπου χρῶνται.
Ἀγλίθας λέγουσι τὰς κεφαλὰς τῶν σκορόδων.
Τὸ ὡς τώς λέγουσι. καὶ παρ' ἀριστοφάνει ἐν ἀ-
χαρνεῦσιν. ὔμες ὦν ὅκκ' ἐκβάλητε τὼς ἀρου-
ραῖοι μύες πάσσακι τὰς ἀγλίθας ἐξορύσ-
Τὴν ου. δίφθογγον εἰς. ω. τρέπουσι. (σετε.
τὰς μούσας μώσας λέγοντες. καὶ τὸν οὐ-
ρανὸν, ὠρανόν. καὶ τὸ κοῦρον, κῶρον.
Τὸ φασὶ φαντὶ λέγουσι. καὶ τὸ ἐγὼ ἐγών. καὶ τὸ
γῆ, γᾶ. ὡς παρ' ἀριστοφάνει καὶ γίνεται γᾶ.
Τὸ λῇς ἀντὶ τοῦ θέλεις διὰ τοῦ. η. ὡς τὸ αἰ λῇς
αὐγάσδεο. καὶ ἀριστοφάνης. ἄντεινον αἰ λῇς
ὡς παχεῖα, καὶ καλά. τὴν ἀνὰ συγκόπτουσι
καὶ ἐπὶ τῶν συνθέτων. ὡς τὸ ἀνάτεινον,
ἄντεινον. καὶ ἐπὶ τῶν κατὰ παράθεσιν λε-
γομένων. ἂν τὴν ἀγοράν, ἀντὶ τοῦ ἀνὰ τὴν
Τὸ σφᾶς ψέ λέγουσι. θεόκριτος. (ἀγοράν.
ἦ πᾶ ψὲ κρύβδαν τὰ ποθέσπερα πάσας ἀ-
μέλγες. τουτέστιν ἦπου αὐτὰς τὰς βόας
ἐφ' ἑσπέρας πάσας ἀμέλγεις.
Τὸ τίθησι, καὶ ὑφίησι, τίθητι, καὶ ὑφίητι λέ-
γουσι. θεόκριτος. ἀλλ' ὁ γέρων ὑφίητι τὰ
μοσχία κἠμὲ φυλάττει.

geminationi. Pindarus olympia.
enim ipse præmium accepit, pro accepit.
Extẽsiones etiã doriẽsiũ sunt. uacuus,
uacuus.
Retro, retro dicunt elidentes. σ.
Genitiuos plurales in. ων. de-
finentes, & circunflexos per. αν. pro-
ferunt. & ubi dicẽdũ est, musarũ, musarũ
Non est, non est dicunt cõtrahẽ- (dicũt.
tes. η. &. ε. in. η. sicut & Aristopha-
nes. nnnquid est hic porcus?
Dores ubi dicẽdũ est ipm, ipm dicunt.
Esse, esse. oportet, oportet.
Tacere, tacere. ut Aristopha. non oportet
tacere. sic sitire, sitire. &
esurire, esurire.
Domũ, domũ dicunt. & te, te. ut, te
autem asportabo. p te, asportabo.
Ad, ad dicunt, deinde. & ι. abscin-
dunt. ad matrẽ inquit Aristophanes.
Ex eodem, ex eodem dicunt eli-
dentes iota, inde. α. & ε. in. η. cõtrahentes
ut uiuebat, uiuebat. temperabat, bat. & si-
milia. hoc autem atticum, & ionicum est.
Eiusdẽ eiusdẽ dicunt. carnẽ, carnẽ nomi
Circunflectunt futura. (nant.
auferam, auferam dicentes.
Honorem, honorem dicunt.
Ad nos, ad nos.
Pro uos, uos proferunt.
οι articulo nominatiui pluralis
τ. addunt, hi Dei dicentes, & hæ musæ.
Paxillum, paxillum dicunt.
Quando, pro quando. & ubi, &
ubi utuntur.
Capita alliorum dicunt, capita alliorum
Sicut, sicut dicunt. & apud Aristoph. in a-
charnẽsib. Vos igit̃ cũ eieceritis, ut arua-
les mures paxillo capita alliorum effo-
ου diphthongũ in. ω. mutant. (dite.
musas, mosas dicentes. & cœ-
lum, cœlum. & filium, filium.
Aiunt, aiunt dicunt. & ego, ego. &
terra, terra. ut apud Aristoph. & fit terra.
Vis pro uis per. η. ut si uis
aspice. & Aristophanes. extende, si uis,
ut pĩguis, & pulchra. ἀνὰ. ꝑponẽ concidunt
& in compositis. ut extende, extende,
& in iis quæ per appositionem di-
cuntur. per forum, pro per forum.
Ipsos, ipsos dicunt. theocritus.
nunquid ipsas clam uesperi omneis mul-
ges. hoc est nunquid ipsas uaccas
uesperi omneis mulges.
Ponit, & sũmittit, ponit, & sũmittit, di-
cunt. theocritus. Sed senex summittit
uitulos, & me obseruat.

Τοῦ ὑπερ-

Τοῦ ὑπερσυντελίκου τὰ τρίτα πρόσωπα διὰ τοῦ η γράφουσιν. ὡς Θεόκριτος. καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπη.

Ἡ δάμαλις οὐ λέγουσιν, ἀλλὰ δαμάλη. Θεόκριτος. ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦνται.

Τὸ ἄλλοτε ἄλλοκα λέγουσι.

Τὸ μα ἔξωθεν λαμβάνουσιν. οὐ γᾶν, φησὶ Θεόκριτος. ἀντὶ τοῦ οὐ μὰ τὴν γῆν.

Τὸ ἦν, ἦς φασί. Θεόκριτος. οὐδὲ γὰρ εὐμαρία τῷ δεσπότῃ ἦς τοι ἐνεῦδεν. οὐκ ἦν φησὶν οὐδὲ τῷ δεσπότῃ σου ἐγκοιμᾶσθαι. ἦς εὐμαρά ἀντὶ τοῦ ἦν εὐμάρα.

Τὸ κείσομαι, κεισοῦμαι λέγουσιν. εἶτα τρέπουσι τὴν ου δίφθογγον εἰς τὴν ευ. κεισεῦμαι δὲ πεσών. καὶ τοὶ λύκοι ὧδε μ' ἔδοντι. τοὺς μέλλοντας τῶν εἰς ζω ῥημάτων διὰ τοῦ ξ προφέρουσι. καθίξαο, ἀντὶ τοῦ καθίσας. καὶ λυγιξεῖν, ἀντὶ τοῦ λυγίσειν. καὶ τὰ ὅμοια.

Τὸ θέασαι, θᾶσαι λέγουσι. Θεόκριτος, θᾶσαι φίλος ὡς καλὸν ὄσδει. καὶ πάλιν, θᾶσαι μὰν θυμαλγὲς ἐμὶν ἄχος.

Ὀρειμαλίδες λέγονται παρ' αὐτοῖς τὰ ὄρεια μῆλα.

Τὸ ὁμοῦ, ἁμᾶ λέγουσιν.

Ἀντὶ τοῦ ἔμπροσθεν ἔμποθεν λέγουσιν. Θεόκριτος. ἡμῖν δὲ τὺ βουκολιάσδευ ἔμποθεν. ἔνιοι δὲ ἀντὶ τοῦ ποθὲν ἐλάβοντο τὴν λέξιν ταύτην, ἢ ἓν πρὸς ἓν ᾠδάριον, τουτέστιν ἀμοιβαδόν.

Ὅταν ὦσι δύο ηη ἀλλεπάλληλα, καὶ ταῦτα εἰς α τρέπουσιν. ὡς Θεόκριτος. νίκη μὰν οὐδ' ἄλλος. ἀνάσσατοι δ' ἐγένοντο. ἀντὶ τοῦ ἀνήσσητοι.

Καὶ τὸ ἐβοᾶτο, καὶ ἐγελᾶτο, καὶ ἐκλᾶτο εἰς η τρέπουσι. τὸ σοί, καὶ ἐμοί, τίν, καὶ ἐμὶν λέγουσιν.

Καὶ ἀντὶ τοῦ εἰπεῖν τὸν πλησίον τὸν πλατίον λέγουσιν.

Τὸ πρώην πρᾶν. Θεόκριτος ἔγνων πρᾶν.

Τὸ ὁ ἄρθρον μετὰ φωνήεντος ἑτέρου ἐπαγομένου κιρνώμενον εἰς ω μέγα παρὰ Δωριεῦσιν, οὕτως ἐκφέρεται, ὡς παρ' Ἴωσιν. ὡς καὶ Θεόκριτος. οὐχ οὕτως ὤδωνις ἐπὶ πλέον ἄγαγε λύσσας.

Τὸ ὁ ἕτερος ὥτερος λέγουσι.

Τὸ τετραετὲς τετράενες λέγουσι. Θεόκριτος. τετράενες δὲ πίθω ἀπολύετο κρατὸς ἄλειφαρ.

Τὸ σύ, τύ, τὸ πλήν, πλάν λέγουσι.

Τὸ ἡμέραν, ἁμέραν. τὴν πηγήν, παγάν.

Τὸ εἴκοσι, εἴκατι. Θεόκριτος. φεῦ φεῦ Λάκων τοὶ ταλάρως σχεδὸν εἴκατι πληροῖ τυρῷ.

Ὁμοίως τοῖς Ἀττικοῖς καὶ αὐτοὶ τὰ ἀπὸ βαρυτόνων περισπώμενα ἐκτείνουσιν. οἷον στρέφω στρωφῶ. νέμω, νωμῶ. πέτω, πωτῶ. Θεόκριτος. πωτῶντο ξουθαὶ παρὰ πίδακας ἀμφὶ μέλισσαι.

Χρῶνται καὶ τῷ ὦν ἀντὶ τοῦ οὖν. ὥσπερ οἱ Ἴωνες χρήσδεις ὦν ἐσιδεῖν. χρήσδεις κατα—

Præteriti plusq̄ perfecti tertias personas per .η. scribūt. ut Theocritus. & quando ille oleum in oculis uidit.

Iuuenca non dicunt, sed iuuēca. Theocritus. Iuuencæ autem ipsum mugientes hic desyderant.

Aliqñ, aliqñ dicūt.

Per, deforis assumūt. nō terrā īqt Theocritus. pro non per terram.

Erat erat aiūt. Theocri. neq; .n. eumaræ hero erat, ubi dormiret. non erat inquit ne Hero qdē tuo, in quo dormiret. erat eumaræ pro erat eumaræ.

Iacebo iacebo dicunt. inde uertunt. ου. diphthongum in .ευ. Iacebo aūt lapsus. & lupi hic me deuorabunt futura in .ζω. uerborum per .ξ. proferunt sedens, pro sedens. & flexumire, p̄ flexumire. & similia

Vide, uide dicunt Theocritus. uide amice, q̄ bene olet. & rursus, uide tamen tristem meum dolorem.

Mala montana dicuntur apud eos mala mōtana.

Simul, simul dicunt.

Pro ante, ante dicunt. Theocritus nobis autem tu bucolice cāta ante. nonnulli uero, pro aliunde acceperunt dictionē hāc, uel unā ad unā cantilenā, hoc est uicissim.

Cū fuerint duo .ηη. unū sup aliud, & hæc in .α. uertūt. ut Theocritus. uincebat quidē neuter. inuicti autem fuerunt, pro inuicti.

Et clamabat, & ridebat, & frangebat in .η. uertūt. Tibi, & mihi, tibi, & mihi dicūt.

Et ubi dicendum est prope, prope dicunt.

Dudū, dudū. Theocritus, noui dudū.

O articulus cum alia uocali inducta contractū in .ω. magnū apud Dorienseis, sic pronūciatur, ut apud Ionas, ut & Theocritus, nonne sic Adonis ad maiorem duxit rabiem?

Alter, alter dicunt.

Quadrimū, mū dicunt. Theocritus. q̄drimū aūt uegetis absoluebat capite unguē. i. quadrimi uini uegetē releuimus.

Tu, tu. præter, præter dicunt.

Diem, diem. fontem, fontem.

Viginti, uiginti. Theocrit⁹. eheu Lacon tibi fiscellas fere uiginti implet caseo.

Pariter cum atticis, & ipsi a uarytonis circunflexa producunt ut uerto, uerto. pasco, pasco. uolo, uolo. Theocritus. circūuolāt flauæ ad fontes apes,

Vtuntur & igitur, pro igitur. ut Iones. uis igitur uidere? uis depone—

θεῖναι ἄεθλον.

Τῆς πρώτης συζυγίας τῶν περισπωμένων τὰ παθητικὰ ἀορίστους συστέλλουσιν ἐπὶ τῆς παραληγούσης. θεόκριτος. οὕτω καὶ νύμφα γαμεθεῖς ἀκάχοιτο.

Τὴν σταγόνα τῆς δρόσου ῥαθάμιγγα λέγουσιν οἱ δωριεῖς.

Τὸ βρενθύεται φριμάσσεται φασί.

Τὸ ἐκάθηρεν ἀντὶ τοῦ ἐμάστιξε λαμβάνουσι.

Τὸ κιγκλίζειν ἀντὶ τοῦ κινεῖν τὴν ὀσφύν. ὥσπερ παρὰ τὸ γνῶ, γίγνω. οὕτω καὶ παρὰ τὸ κλῶ, κίκλω, καὶ κικλίζω.

Τοὺς μέσους μέλλοντας πρώτους περισπῶσι. καὶ ἐπὶ τῶν ὑποτακτικῶν διὰ διφθόγγου γράφουσι. θεόκριτος. μὴ μὲν λωβασεῖσθε τὰς ἀμπέλους.

Τὸ μικρὸν, μικκὸν λέγουσι. θεόκριτος. ἴθ᾽ ὦ ξένε μικκὸν ἄκουσον τῇδ᾽ ἐνθών.

Τὸ βοσρήσομες ἀντὶ τοῦ κεκλεσόμεθα λαμβάνουσι. τὸν κυρτὸν, ὑβὸν καλοῦσι.

Τὸ ἰδοὺ ἠνίδε φασί. καὶ συνέσιος. ἠνίδε ἐπὶ τοῦ αὐτοῦ τάττει. θεόκριτος. ἠνίδε τοι τὸ δέπας.

Τὸ ἐντί καὶ ἀντὶ τοῦ εἰσὶ λαμβάνουσι. θεόκριτος. ἐντὶ γὰρ αὗαι. τὴν διφθέραν, βαίτην λέγουσι.

Ὄλπις λέγεται παρ᾽ αὐτοῖς ὁ ἁλιεὺς, ὁ τοὺς λεπιδωτοὺς ἰχθῦς ἀγρεύων. ἀπὸ τοῦ λέπω λεπὶς, καὶ ὑπερθέσει τοῦ ε. ἐλπίς. καὶ τροπῇ τοῦ βραχέος ε, εἰς ο, βραχὺ ὄλπις.

Γοίαν τὴν πορφυρέαν ὄϊν φασίν. τὴν μέλαιναν γὰρ τοῦ σώματος ἐπιφάνειαν, ἡνίκα ἂν δι᾽ ἐκδρομὴν ὕδατος μελαίνηται, πελίαν καλοῦσι.

Γύρριχος λέγεται παρ᾽ αὐτοῖς ὁ πυρρός. καὶ κακοχράσμων, ὁ δύσεροπος.

Τὸ ὁσσίχον ἀντὶ τοῦ ὅσον. θεόκριτος. ὁσσίχον ἐστὶ τὸ τύμμα. καὶ ἁλίκον ἄνδρα δαμάσδει.

Τὸ ἠγνόησε λέγουσι ἠγνοίησε. τὸ δωροῦμαι, δωρύττομαι.

Εἰδέναι δεῖ ὅτι τῆς δωρίδος πολλαί εἰσιν ὑποδιαιρέσεις τοπικαί. ἄλλως γὰρ κρῆτες διαλέγονται, καὶ ἄλλως ῥόδιοι, καὶ ἄλλως ἀργεῖοι, καὶ ἄλλως λακεδαιμόνιοι, ἑτέρως δὲ συρακούσιοι, καὶ σικελοί. καθολικαὶ δὲ ὅμως αὐτῶν ἰδιότητες αἵγε προειρημέναι. εἰ καὶ μὴ πᾶσαι.

Ὅτι αὐταὶ τὸ τρέπειν τὰς εἰς ους. ληγούσας γενικὰς ἀπὸ τῶν εἰς ης. εὐθειῶν γινομένας εἰς ευς. ἴδιον ἔχουσιν. οἷον διογένης, διογένευς, ἀντὶ τοῦ διογένους.

Τὸ η. ἀντὶ τῆς ει. διφθόγγου χρῶνται, τὸ ἐλθεῖν ἐλθῆν λέγοντες. ὑπεξαιροῦσι δὲ καὶ τῶν ἀπαρεμφάτων τὸ ι. λαβεν γὰρ ἀντὶ τοῦ λαβεῖν. καὶ ἔλθεν ἀντὶ τοῦ ἐλθεῖν. καὶ ἐνεύδεν ἀντὶ τοῦ ἐνεύδειν. χρῶνται δὲ καὶ διπλασιασμῷ τῶν τριῶν συμφώνων, ὡς οἱ αἰολεῖς. ὅττι. ὁππόθεν. ὅσσον.

Τοὺς θεοὺς, σεοὺς λέγουσιν, ὡς οἱ λακεδαιμόνιοι τοὺς διοσκόρους ὀμνύοντες, νὴ τὼ

re pignus.

Primæ coniugationis circũflexorum passiua indefinita corripiunt in penultima. Theocritus. sic & nympha nupta tristaretur.

Guttã roris, guttã roris dicunt do(res.

Superbit, fremit inquiunt.

Purgauit, pro flagellauit accipiunt.

Mouere lũbũ, pro mouere lumbum. ut a nosco, nosco. sic a frango, frango, moto.

Media futura prima circunflectunt. & in subiunctiuis per diphthongum scribunt. Theocritus. ne meis nocete uitibus.

Paruũ, paruũ dicũt. Theocritus. ueni o hospes parum audi huc ueniens.

Clamabimus, pro clamabimus accipiunt. gibbosum, gibbosum uocant.

Ecce, ecce aiunt. & Synesius. ecce in eodẽ cõstituit. Theocritus. en tibi (poculũ.

Sunt & pro sunt accipiunt. Theocritus. Sũt. n. siccæ, pelliceam uestem, betam dicunt.

Piscator dicit apud ipsos piscator, qui squamosos pisces uenatur. ab exquamo, squama. & trãspositione, piscator, & mutatione breuis. ε. in. ο. breue piscator.

Pullam purpuream ouem dicunt, nigram. n. corporis superficiem, quando per cursum aquæ nigrescit, liuidam uocant.

Flauus dicitur apud ipsos fuluus. & intractabilis, intractabilis.

Quãtulũ, ꝑ quãtulũ. Theocrit⁹. Quãtulũ est uulnus, & quã grãdẽ uirũ domat.

Ignorauit dicunt ignorauit. dono, dono.

Scire oportet, qđ doricæ linguæ sũt subdiuisiones locales. aliter. n. Cretẽses loquuntur, & aliter Rhodii, & aliter argiui, & aliter lacedæmonii, aliter syracusii, & siculi. Vniuersales tamen ipsorũ proprietates prædictæ sunt. & si non omnes.

Item hæ uertere in. ους. desinentes genitiuos ab in. ης. rectis factos, in. ευς. ꝓpriũ habẽt. ut Diogenes, Diogenis, pro Diogenis.

H. pro. ει. diphthongo utuntur, uenisse, uenisse dicentes. subtrahũt autem & ab infinitis. ι. accepisse enim, pro accepisse. & uenisse, ꝑ uenisse. indormire, pro indormire. utuntur & geminatione trium consonantium, ut æoles. q̃m. unde. quantum.

Deos, seos dicunt, ut lacedæmonii geminos iurantes, per

σφεώ

σφεὼ φασίν. τουτέστι μὰ τοὺς θεούς.
Αἱ ἐκτάσεις τῶν διχρόνων ἴδιαι τῆς δω-
ρίδος. οἷον ἶσος ἀνυαλίω.
Τῷ. α. ἀντὶ τοῦ ε. πολλάκις χρῶνται. τὸ ἕτερος
ἅτερος λέγοντες, καὶ τὸ ἄρτεμις, ἄρταμις.
Αἱ ἀποκοπαὶ ἴδιαι αὐτῶν εἰσί. οἷον ποσειδῶ-
να, ποσιδῶ. δῶμα, δῶ. κρῖμνον, κρῖ.
Αἱ προσθέσεις τῆς με συλλαβῆς ἐπὶ τῶν
παρ᾽ ἡμῖν εἰς ναι. ληγόντων ἀπαρεμφά-
των, τῶν δωριέων εἰσίν. οἷον βήμεναι ἀντὶ
τοῦ βῆναι.
Αἱ ὑπεξαιρέσεις τοῦ. δ. ἐκ τῶν γενικῶν διὰ
τοῦ. δ. κλινομένων. πάριδος, πάριος. καὶ τὸ
κέραος ἀντὶ τοῦ κέρατος τῶν ἰώνων εἰσὶν
ἰδιώματα, καὶ τῶν δωριέων.
Βαρυτονοῦσιν οἱ δωριεῖς καὶ τὰ ποιότητος
δηλωτικὰ ἐπιῤῥήματα. κάλως, σόφως,
κόμψως, ἅπλως λέγοντες. τὰ δὲ ὑφ᾽ ἡμῶν
βαρυνόμενα περισπῶσιν, οὑτῶς, παντῶς.
καὶ τὰς εἰς. οι. ὀνόματα. ὁμοίως δὲ καὶ τὰς
μετοχὰς, ὅταν προπαροξύνονται, αὐτοὶ πα-
ροξύνουσιν. οἷον φιλοσόφοι. μενελάοι. πε-
θουμένοι. δηλομένοι.
Καὶ τὰς μετοχὰς εἰς. ων. ληγούσας τῶν πε-
ρισπωμένον εἰς. αν. ποιοῦσι λήγειν. γελῶν,
ἑλῶν. γελᾶν, ἑλᾶν. (δας.
Τὴν ναῦν νηῦν καλοῦσι, καὶ τὰς κλεῖδας κλᾶ-
Παροξυτονοῦσι δὲ καὶ τὰ τρίτα πρόσωπα τὰ
εἰς. αν. λήγοντα τῶν ἀορίστων. ἑστάσαν, ἐφά-
σαν. καὶ τὰ εἰς. ον. δὲ λήγοντα παροξύνου-
σιν. ἐλάβον, ἐτρέχον, ἐλέγον, ἐφάγον.
Περισπῶσι καὶ τὰ τοιαῦτα. παιδῶν, τρωῶν,
παντῶν.
Καὶ τοὺς μέλλοντας. τὸ δώσουσι, δω-
σοῦντι. καὶ τὸ λέξουσι, λεξοῦντι προπερισπωμέ-
ρο περισπῶσι καὶ αὐτοὶ τὸ ὁμοῖος (νως.
ὡς οἱ ἀττικοί. τὰς αἰτιατικὰς πληθυντι-
κὰς ἀρσενικὰς τὰς εἰς. ους. ληγούσας διὰ τοῦ
ος. ἐκφέρουσι. τὼς καλός. τὼς σοφός. τὼς
ἀνθρώπος. τὼς ἵππος. τὰ διὰ τοῦ. ε. ἐκφε-
ρόμενα προστακτικὰ ῥήματα διὰ τοῦ. ον. ἐκ-
φέρουσι. λάβε, λάβον. θίγε, θίγον.
Τὴν πατέρα ἀπφὺν ὀνομάζουσι. τὰς κουρὰς,
κωκάδας. τὸ ἴδες ἰωνικῶς καὶ αὐτοὶ συστέλ-
λουσι. θεόκριτος ἐν ἀδωνιαζούσαις. ὧν ἴδες
χ᾽ ὧν εἶπας, καὶ, ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.
Τὸν ἀργὸν κατ᾽ ἐπένθεσιν ἀεργὸν λέγουσι.
Καὶ τὸ δαψιλὲς ἀδέσ φασι. τὴν παῖδα παῖ-
Τοῖς ὑποτακτικοῖς χρῶνται ἀντὶ (δά φασι.
ὁριστικῶν. θεόκριτος. ἴσσον, καὶ τὸν ψυχρὸν
ὄφιν τὰ μάλιστα δεδοίκω. ἀντὶ τοῦ δέδοικα.
Τὸ ἴσασιν ἴσαντι λέγουσι. καὶ τὸ ἑστήκασιν, ἑστή-
καντι. θεόκριτος. ὡς ἔτυμ᾽ ἑστήκαντι. καὶ
ὡς ἔτυμ᾽ ἐνδιδύντι. ἔμψυχ᾽ οὐκ ἐνυφαν-
τά. σοφόν τι χρῆμ᾽ ὤνθρωπος.
Τῶν μετουσιαστικῶν καὶ αὐτοὶ τὸ. ι. ἀποβάλ-
λουσιν. ἀργύρεος, καὶ χρύσεος λέγοντες.

seos aiunt.hoc est per deos.
Productiões ãbiguarũ ꝓpriæ linguæ do
ricæ.ut æqualis marti.
α.pro.ε.sæpe utuntur.alter,
alter,dicentes.& Diana,Diana.
Abscisiões ꝓpriæ ipsorũ sũt.ut Neptu-
nũ,neptunũ.domũ,do.crimnũ hoc est ge-
Additiões.με.syllabæ ĩ iis (nus frumẽti.
quæ apud nos in.ναι.desinunt,infini-
tis,Doriensiũ sunt,ut ascendere,pro
ascendere.
Subtractiones.δ.ex genitiuis,qui
per.δ.declinantur.paridis,paridis.&
cornu,pro cornu.Ionum sunt
ꝓprietates linguæ,& Doriensium.
Acuta penultĩa scribũt Dores,& q̃litatis
significatiua aduerbia.pulchre,sapienter.
compte,simpliciter dicentes.Quæ a nobis
acuta penultĩa sunt,circũflectunt.sic,oĩno.
& in.οι.nomina.similiter &
pticipia,cũ ãpenultimã acuũt,ipsi penul-
ut philosophi.menelai. (tima acuta dicũt.
cupiti.significati.
Et pticipia in.ων.desinentia cir-
cunflexorum in.αν.faciunt finire.ridens,
agitans.ridens,agitans.
Naué,naué uocãt.& claues,claues.
Acuta penult.ꝓferũt,& tertias psonas
in.αν.desinẽtes indefinitorũ.steterunt,di-
xerunt.& in.ον.desinentes acuta penul.
acceperũt,cucurrerũt,dixerũt,comederũt.
Circũflectũt & hmõi.puerorũ.troianorum,
omnium.
Et futura.dabunt,da-
bunt.& dicent,dicent circunflexe.
Circunflectunt ipsi,& similis.
ut attici.Accusatiuos plura-
les masculinos in.ους.desinentes per
ος.ꝓferunt.hos pulchros,hos sapientes,hos
hoĩes,hos equos.Qui per.ε.profe
runtur imperatiua uerba per.ον.pro-
runt.accipe,accipe.tange,tange.
Patrem,patrẽ nominant.tonsuras,
tonsuras.Vidisti ionice,& ipsi corri-
piũt.Theocritus in Adoniazusis.quæ scisti
& quæ dixisti,tu quæ uidisti ei,q nõ uidit.
Ociosum,p ĩterpositionẽ ociosũ dicũt.
Et abundans,abũdãs dicunt.puellã,puel
Subiunctiuis utuntur ꝓ (lã dicũt.
indicatiuis.Theocritus.æquum,& frigidũ
anguem maxime timeam,pro timeo.
Sciunt,sciunt dicunt.& steterunt,stete-
runt.Theocritus.ut uera stant.&
ut uera se inuoluunt.animata,nõ in-
texta.sapiẽs res homo est.
Ex materialium & ipsi.ι.abii-
ciunt argenteus,& aureus dicentes.

Τοῦ ὃς ὑποτακτικοῦ ἄρθρου τὸ. σ. ἀποβάλλουσι. Θεόκριτος· ὁ τριφίλητος ἄδωνις, ὃ κἠν ἀχέροντι φιλεῖται.

Τὸ κλείσω κλαξῶ λέγουσι· Θεόκριτος· τὰν αὐλείαν ἀπόκλαξον.

Τὰ ἐλλειπτικὰ καὶ παρ' αὐτοῖς εἰσι· παύσασθ' ὦ δύστανοι ἀνάνυτα κωτίλλοισαι· τρυγόνες ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

Τὸ πελοποννησιστὶ πελοποννασιστὶ λέγουσι.

Τὰς δοτικὰς τῶν πληθυντικῶν τὰς ἀπὸ τῶν εἰς. ευς. εὐθειῶν γινομένας οὐχ οὕτως ἐκφέρουσιν, ὥσπερ ἡμεῖς, πηλεῦσι, καὶ βασιλεῦσιν· ἀλλ' ἀπ' ἴσης τῷ δημοσθένει καὶ τοῖς ὁμοίοις, ὡς ἐκεῖ γὰρ ἡ δημοσθένεσι δοτικὴ τῶν πληθυντικῶν, οὕτω κἀνταῦθα Θεόκριτος. δωρίσδεν δ' ἔξεστι δοκῶ τοῖς δωριέεσι.

Τὴν φύσιν φυλὴν λέγουσι.

Τὸ βράδισται βάρδισται φασι. Θεόκριτος· βάρδισται μακάρων ὧραι φίλαι, ἀλλὰ ποθειναὶ ἔρχονται πάντεσσι βροτοῖσιν αἰεί τι φέροισαι.

Πλάθανον λέγουσιν εἶδος ἀγγείου τινὸς ἐν ᾧ σκευάζουσι πόπανα.

Συστέλλουσι καὶ τὰς εἰς. ας. αἰτιατικάς· οἷον νύμφας, κρήνας. καὶ τὰς μετοχάς, νοήσας, πράξας.

Καὶ τὰ προστακτικὰ ῥήματα ἐκφερόμενα διὰ τοῦ. ε. ψιλοῦ διὰ τοῦ. ον. ἐκφέρουσι. θίγε, θίγον.

Ἰδίως δὲ λέγουσιν οἱ σικελοὶ τὴν χύτραν, κύτραν· καὶ τὸν χιτῶνα, κιτῶνα· καὶ τὴν μητέρα, δελφύαν. τὴν γυναῖκα, γυνῆν. κρῆτες δὲ τὸ διαπαντός, αἰές. τὸ αὐτοῦ, αὐτοί. τὸ βέλτιον, βώτιον, λέγουσι. τὸ ἔα, εὖα. τὸ ἑαυτόν, εὐασόν. τρέπουσιν οἱ αὐτοὶ καὶ τῆς ἐς. προθέσεως τὸ. σ. εἰς. ν. οἷον ἐς χορόν, ἐν χορόν. ἐς τὴν ἀγοράν, ἐν τὴν ἀγορὰν λέγουσι

Καὶ τὸ εἴωθα, ἤθω, καὶ τὸ εὐωχεῖσθαι, εὐῶ.

Τὸ θουκυδίδης θευκυδίδης. τὸ θεοκράτης, θευκράτης. τὸ θεόφραστος, θεύφραστος.

Καὶ τὸ κρέα, κρῆ. τὸ ἄκρατον, ἄκρητον.

Τὸ κρίκον, κίρκον. τὸ κελεύεται, κέλεται.

Τὸ καταβαλεῖν, καββαλεῖν.

Τοὺς σωροὺς τῶν ἀχύρων μύχωνας λέγουσι.

Καὶ ἀντὶ τοῦ τότε τόκα. καὶ ἀντὶ (σπ. τοῦ τῆμος ἦμος λέγουσι.

Τὸ οἴκαδε, οἴκαδες. τὸ στάδιον, σπάδιον.

Τὸ μὲν μές· καὶ ἀντὶ τοῦ εἰπεῖν ταύτας, τούτας λέγουσι· καὶ τὸ ἔνδον, ἔνδοι. τὸ κρανίον, κράνον.

Ἀδέματον ψυχὴν τὴν νεκράν, ἤγουν τὴν ἔξω τοῦ σώματος. καὶ ταῦτα περὶ τῆς δωρίδος. Διαφέρει δὲ ἡ τῶν κρητῶν διάλεκτος, ἥπερ κυψέλας ἐχρήσατο· καὶ λακώνων, ἥπερ ἀλκμάν, καὶ σώφρων. ἡ μέντοι πινδάρου, καὶ σιμωνίδου, καὶ βακχυλίδου· παντελῶς ἀγνοεῖται, διὰ τὸ μὴ δωριεῖς εἶναι φύσει τοὺς ποιητάς· ἔχειν δὲ μόνον αὐτῶν τὴν διάλεξιν.

Ex qui subiunctiuo articulo. σ. abiiciunt. Theocritus. ter amabilis adonis, qui & in acheronte amatur.

Claudam claudam dicunt. Theocritus. Ianuam claudito.

Defectiua etiã apud eos sũt. Quiescite o infelices inefficacia garientes. turtures fastidio afficiũt lato ore pnũciãtes oĩa.

Peloponnisiace, peloponnisiace dicũt

Datiuos pluraleis ab in. ευς. rectis factos non sic proferunt, ut nos, peleis, & regibus, sed ut primæ contractorum flexionis noĩa. ut ibi enim Demosthenib. datiuus pluralis, sic & hic Theocritus. dorice loqui licet, puto, doriẽsibus.

Naturã, naturã dicũt.

Tardissimæ, tardissimæ inqũt. Theo. tardissimæ supez horæ caræ, sed dsiderabiles ueniũt oĩb⁹ mortalib. semp aliqd ferẽtes.

Plathanũ dicũt spẽm uasis cuiusdam, in quo præparant placentulas.

Corripiũt & in as accusatiuos. ut nymphas, fontes. & pticipia, intelligẽs. faciens.

Et imperatiua uerba pronunciata per ε. tenuẽ per. ον. pronunciant. tange, tange.

Peculiariter dicunt siculi ollam, ollam. & tunicam, tunicam. & matricẽ, matricẽ. mulierem, mulierem. cretenses. semper, semper. Ibi, ibi. melius, melius dicunt. sine, sine. ipsum, ipsum. uertunt iidem & ες. ppositiõis. σ. in. ν. ut in chorum, in chorum. in forum, in forum dicunt.

Et cõsueui, cõsueui. & cõuiuari, cõuiuari.

Thucydides, theucydides. theocrates, theucrates. Theophrastus, teuphrastus.

Et carnes, carnes. merum, merum.

Annulus, annulus. iubetur, iubetur.

Deiicere, deiicere.

Cumulos palearum mychonas dicunt.

Et pro tunc, tunc. & pro quando, quando dicunt.

Domum, domum. stadium, stadium.

Quidem, quidem. & ubi dicẽdum has, has inquiunt. & intus, intus. caluaria, caluaria.

Incorporeã aĩam mortuã, hoc ẽ extra corpus degentem. Et hæc de lingua dorica. Differt autem cretensium dialectus, qua Cypselas usus est, & Laconum, qua Alcman, & Sophron. Pindari tamẽ, & Simonidæ, & Bacchylidis oĩno ignoraẽ, eo qđ natura nõ sint Dorienses hi poetæ. habeant autem solam ipsorum locutionem.

## Περὶ τῆς ἰώνων διαλέκτου.

Τὰς εἰς ·ας· ληγούσας εὐθείας τὰς ὑπὲρ δύο συλλαβὰς εἰς ·ης ἐκφέρουσιν οἱ ἴωνες, ἡρόδοτος. ὁ δὲ ἀρχίης, καὶ λυκώπης μοῦνοι συμπεσόντες.

Ταῖς δοτικαῖς τῶν πληθυντικῶν ταῖς ληγούσαις εἰς ·οις· προστιθέασι τὸ ·ι· ἡρόδοτος. τοῖσι σαμίοισι.

Τὸ κλεισθέντες κληϊσθέντες λέγουσι· καὶ τὸ πηλειάδεω πηληϊάδεω. διαλύουσι γὰρ τὴν δίφθογγον εἰς ·ε· καὶ ·ι· εἶτα ἐκτείνουσι τὸ ·ε· εἰς τὴν ·η· συλλαβήν· ὥσπερ τὸ ἱερεῖον ἱερήϊον λέγουσι.

Τὰς εἰς ·ων· ληγούσας γενικὰς τῶν πληθυντικῶν θηλυκῶν οἷον ὡρῶν, θηβῶν, πυλῶν, ὡρέων, καὶ θηβέων, καὶ πυλέων λέγουσιν. ὅμηρος ὡς εἰπὼν πυλέων ἐξέσσυτο. καὶ ἱπποκράτης. αἱ μεταβολαὶ τῶν ὡρέων τίκτουσι νοσήματα.

Ἀλλὰ καὶ τὰς τῶν ἀρσενικῶν ὁμοίως γενικὰς τὰς ἐκ τῶν εἰς ·ης· εὐθειῶν γινομένας διὰ τοῦ ·εων· προφέρουσι. περσέων λέγοντες, καὶ νησιωτέων. ἡρόδοτος ἐν τῇ τρίτῃ κατ᾽ ἀρχάς. νησιωτέων μάλιστα ἐπλούτεον.

Ταῖς δοτικαῖς τῶν πληθυντικῶν τῶν θηλυκῶν ὀνομάτων οὐ μόνον τὸ ·ι· προστιθέναι εἰώθασιν, ὡς ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν ἀρσενικῶν ὀνομάτων· ἀλλὰ καὶ τῆς ·αι· διφθόγγου τρέπειν τὸ ·α· εἰς ·η εἰώθασιν· ὡς ἱπποκράτης· ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη πρόσθεν μὴ γενομένη σημεῖον ἀγαθόν.

Τὰς εἰς ·ου· ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ·ας· ἢ εἰς ·ης· εὐθειῶν γινομένας διὰ τοῦ ·εω προφέρουσιν· ἀπὸ μὲν τῶν εἰς ·ας· ἡρόδοτος· τρίτῳ δ᾽ ἀπ᾽ ἀρχίεω γεγονότι· ἀντὶ τοῦ ἀπ᾽ ἀρχίου· ἀπὸ δὲ τῶν εἰς ·ης. ἀτρείδεω δαΐφρονος. Τοῖς ὑποτακτικοῖς ἄρθροις τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις προστιθέασι τὸ ·τ· οἱ ἴωνες· ὡς παρ᾽ ἡροδότῳ αὐτὸς μὲν ὦθι τόνους συνεγενόμην δήμου τοῦ ἦν, ἀντὶ τοῦ οὗ ἦν· καὶ ἀλλαχοῦ, τοῖς ἐνετέλλετο ἔχουσιν, ἀντὶ τοῦ οἷς.

Τῷ ·ε· προστιθέασι τὸ ·ι· ὡς τὸ χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν. καὶ εἴ μοι ξείνια δοίη. εἰνάλιος θήρ· ἀντὶ τοῦ ἐνάλιος. Τῷ ·ο· ἐπιβάλλουσι τὸ ·υ· κόρη, κούρη. νόσος, νοῦσος· ὄρος, οὖρος. μόνος μοῦνος. εἴποι τις οὖν πῶς τὸ πόνος, καὶ φόνος οὐ προσλαμβάνει τὸ ·υ· οὐ γὰρ λέγουσι ποῦνος, φοῦνος; λέγομεν οὖν ὅτι ἀπὸ ῥημάτων τοῦ πονῶ καὶ φονῶ παρήχθησαν. τὸ δὲ μόνος καίτοι ἀπὸ ῥήματος παρήχθη, ἐπεὶ τριγενές ἐστι προσλαμβάνει τὸ ·υ.

Τὸ ·α· εἰς ·η· τρέπουσιν. ἥρα, ἥρη. σφαῖρα, σφαίρη· δημοσία, δημοσίη· πρᾶγμα, πρῆγμα.

## De Ionum lingua.

In .ας. desinentes rectos supra duas syllabas in .ης. proferunt Iones. Herodotus. Archias autem, & Lycopes soli cum conuenissent.

Datiuis pluralibus desinentib. in .οις. addunt .ι. Herodotus, samiis.

Clausi, clausi dicunt. & pelidæ peleiadæ. dissoluunt enim diphthongum in .ε. & .ι. deinde producunt .ε. in .η. syllabam. sicut uictima, uictima dicunt.

In .ων. desinentes genitiuos plurales fœmininos, ut horarũ, thebarũ, portarũ, horarũ, & thebarũ, & portarum dicunt. Hom. sic fat⁹ ex portis ĩpetũ fecit. & Hippocrates, uariationes anni temporum pariunt morbos.

Sed & masculinorum genitiuos ab in .ης. rectis factos per .εων. proferunt. persarum dicentes, & insulanorũ. Herodotus in tertia in initio Insulanoꝝ maxĩe locupletabanť.

Datiuis pluralibus fœmininoꝝ nominum non solum .ι. addere consueuerunt, ut in datiuis pluralibus masculinorũ nominum. sed αι. diphthongi uertere .α. in .η. cõsueuerũt. ut Hippocrates in diuturnis ĩtestinoꝝ leuitatib. acida eructatio si subsetea q̃ nõ fuerit, signũ bonũ. (quæ an-

In .ου. desinentes genitiuos ab in .ας. aut in .ης. rectis factos per εω. proferunt. Ab iis, qui in .ας. Herodotus. tertio aũt ab Archia qui fuit, ꝓ ab Archia. ab iis aũt, qui in .ης. Atridæ, prudentis. Subiunctiuis articulis, qui a uocali incipiunt, addunt .τ. Iones. ut apud Herodotum. Ipse qdẽ ad tonos cõgressus sum populo de quo erat, ꝓ eo qđ ẽ de quo erat. & alibi quib. mandauit habentibus ꝓ quibus.

.ε. addunt .ι. ut oportet hospitem præsentem amare, uolentem mittere. & si mihi hospitalia daret. Itẽ marina fera pro marina. O adiiciunt ipsi .υ. puella, puella. morb⁹, morb⁹. mõs, mõs. sol⁹ solus. Dixerit qspiã igiť, quõ labor, & cædes non assumit .υ. non enim dicunt labor, cædes? dicimus igitur quod a uerbis laboro, & cædo deducta sunt. solus aũt, & si a uerbo deductum, quoniam trium generum est assumit .υ.

.α. in .η. uertunt. Iuno, iuno. sphæra sphæra. publica, publica. res, res.

Τὰς εἰς· ους· ληγούσας γενικὰς διὰ τοῦ· εος· προφέρουσιν· ὡσαύτως καὶ τὰς ἄλλας πτώσεις· οὐ συνῃρημένας, ἀλλ᾽ ἐντελεῖς ποιοῦσι, πολυκράτεα, καὶ δημοσθένεα λέγοντες.

Τὸ πολλὸν λέγουσιν οὐχὶ τὸ πολύ. καὶ ὁ πολλός, οὐχὶ πολύς. τὴν εἰς πρόθεσιν. ες. λέγουσιν· ὁμοίως τοῖς ἀττικοῖς.

Τοῖς ἐνεστῶσιν ὁμοίως, καὶ τοῖς παρατατικοῖς, καὶ ταῖς μετοχαῖς τῶν περισπωμένων, καὶ ἁπλῶς εἰπεῖν πάσαις ἐγκλίσεσιν ἐντελῶς κέχρηνται, ὡς ἐν τοῖς ἀνακρεοντείοις· οἷον δοκέει κλύειν γὰρ ἤδη. λαλέειν τις εἰ θελήσῃ. καὶ ἐν τῷ χρησμῷ. καὶ οὐ λαλέον

Τὸ ὁράω ὁρέω λέγουσιν. τὸ α. εἰς (τος ἀκούω. ε. τρέποντες. καὶ τὸ ἐχράοντο ἐχρέοντο.

Τὸ οὖν ἀντὶ τοῦ ὦν λέγουσιν. ἡρόδοτος. καὶ ὦν φασι πολέες.

Τὸ ὦ ὃ σημαίνει τὸ ὑπάρχω ἔω λέγουσι. καὶ ὅμηρος. ὃς ἤδη τά τ᾽ ἐόντα, τά τ᾽ ἐσσόμενα, πρό τ᾽ ἐόντα.

Τὰ ψιλὰ ἀντὶ δασέων ἀσπάζονται. ἀπιγμένοι λέγοντες, καὶ ἀπίκοντο. οὐ μόνον δὲ ἐν ταῖς συνθέσεσι μόνον, ἀλλὰ καὶ ἐν ταῖς συναλοιφαῖς. ἡρόδοτος. οὐκ οἷοί τε ἦσαν. Τὰς νῆας νέας λέγουσι.

Τὰς εἰς. ος. γενικὰς τὰς ἀπὸ τῶν εἰς. ευς. εὐθειῶν γινομένας διὰ τοῦ. ηος. προφέρουσι βασιλῆος λέγοντες καὶ πηλῆος.

Τὰς εἰς. ου. ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς. ος. εὐθειῶν γινομένας διὰ τοῦ. οιο. προφέρουσι. Μενελάου, μενελάοιο. θείου, θείοιο.

Τὰς εἰς. ος. ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς. ις. εὐθειῶν γινομένας διὰ τοῦ. εος. προφέρουσιν. ὄφις, ὄφεος λέγοντες διὰ τοῦ ο, μικροῦ. πρέσβις πρεσβέος. μάντις, μάντεος. καὶ πόλις, πόλεος. ὡς ἐν ὀρέστῃ εὐριπίδης. ὃς ἂν δύνηται πόλεος ἐντ᾽ ἀρχαῖσιν ᾖ. καὶ ἔστιν ὁ τρίτος πούς δάκτυλος. καὶ πάλιν ἐν ἄλλῳ δράματι. ἔσπειρ᾽ ὄφεος ἐν γαίᾳ θέρος.

Εἰώθασι συναιρουμένους ποιεῖν τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, δ᾽ ἂν καὶ ἐγένοντο. οἷον τύπτε δ᾽ ἐπιστροφάδην· ἄορ θείνε. ἐπὶ δ᾽ ὁ γέρων. θῆκε δ᾽ ἐνὶ φρεσὶ θεὰ λευκώλενος ἥρη. ξανθὰς δ᾽ ἐκ κεφαλῆς ἕλε τρίχας. καὶ τὸ, καλὸν δ᾽ οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν. οὐδ᾽ οὕτω γεραρόν. καὶ τὸ τοιοῦτοι εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν πάντες κ᾽ αὐτοῦ ὄλοντο. πρὸς δὲ καὶ μή με δεξάμενος πηλεὺς τρέφεν ἐνδυκέως, καὶ σὸν θεράποντ᾽ ὀνόμηνε. καὶ τὸ ἐνθάδ᾽ ὀδυσσῆα ἐγὼν ἴδμην, καὶ ξεινήϊα δῶκα. καὶ καθόλου εἰπεῖν αἱ συστολαὶ τῶν ἰώνων εἰσίν. ὡς τὸ νέας ἀμφιελίσσας, ἀντὶ τοῦ νῆας. καὶ ὄφεος, καὶ πόλεος. ὥσπερ αἱ ἐπεκτάσεις τῶν ἀττικῶν. ὡς τὸ πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής. καὶ οὐδέποτ᾽

In. ους. desinentes genitiuos per. εος. ꝓferunt. eodem modo & alios casus non contractos, sed integros faciunt, polycratem, & Demosthenem dicentes.

Multum dicunt, non multum. & multus, non multus. In præpositionem in dicunt, ut attici.

Præsentibus similiter & imperfectis præteritis, & participiis circunflexorum, & ut uniuersaliter dicā oībus modis integre utuntur, ut in Anacreonteis. ut uidetur audire. n. hæc loqui quispiam, si uelit, & in oraculo. & non loquen (tē audies

Video, uideo dicūt. α. in. ε. uertentes, & utebantur, utebantur.

Igitur, pro igitur dicunt. Herodotus. & igitur inquiunt multi.

Sū, qđ significat sum, sum dicunt. & Home. qui nouit præsentia, & futura, & præterita.

Tenues ꝓ aspiratis amant, qui peruenerunt dicentes, & abierunt. nō in compositionibus solum, sed & in collisionib⁹. Herodotus. nō potētes erant.

Naus, naues dicunt.

In. ος. genitiuos ab in. ευς, rectis factos per. ηος. proferunt, regis dicentes, & Pelei.

In. ου. desinentes genitiuos ab in. ος. rectis factos per. οιο. proferūt. Menelai, Menelai. diuini, diuini.

In. ος. desinentes genitiuos ab in. ις. rectis factos per. εος. proferunt. anguis, anguis dicentes per o paruum. senex, senis. uates, uates. & ciuitas, ciuitatis. ut in Oreste Euripides. Qui possit ciuitatis inq; magistratibus sit. & est tertius pes dactylus. & rursus in alia fabula. seuit anguis in terra sementem.

Solēt eodē mō incipientia facere prætertia, quo præsentia. ex quibus ea facta sunt. ut uerberabat conuersim. ense ꝓcellebat. iuit āt senex. posuit āt ī mētedea cādidis ulnis Iuno. flauos ex capite cepit capillos. & pulchrū sic ego nondum uidi oculis, neq; sic uenerabilem. & tales si mihi uiginti occurrissent, oēs utiq; ibi periissent. ꝑterea autē & me accipiēs susceptū pele⁹ nutriebat accurate, & tuū cliētē nominauit. & tūc ulyssem ego uidi, & munera dedi. & ut uniuersaliter dicā, correptiones Ionum sunt. ut naues oī ex ꝑte uolutabiles, ꝓ naues. & anguis, & ciuitatis. sicut productiones atticorum. ut uersatur quidam hic senex marinus uerax. & nunquam

ἐς ἀγορὴν

ἐς ἀγορὴν πωλέσκετο κυδιάνειραν. οἴμαι δ᾽ὅτι καὶ τὸ εὐωχία ἀττικῶς ἐκτείνεται, καὶ γράφεται διὰ τοῦ ω, μεγάλου ὀχὴ γὰρ λέγεται ἡ τροφὴ, καὶ εὐωχία, ἡ εὖ ἔχουσα τὸ σῶμα, καὶ συγκρατοῦσα.

Καὶ τὰ δεύτερα πρόσωπα τῶν ἑνικῶν παθητικῶν ποιοῦσιν ἐκ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν. κατ᾽ ὑποσολὴν τοῦ. τ. ὅμηρος. γνώσεαι ἀτρείδην ἀγαμέμνονα· τὸν περὶ πάντων ζεὺς ἐνέηκε πόνοισι διαμπερές. καὶ αὖθις. τέως μέχρις ὀδυρόμενος, καὶ ἀχεύων τὴν σὴν ἔδεαι κραδίην.

Ωσαύτως καὶ τὰς ἀπὸ τῶν εἰς. ας. εὐθειῶν οὐδετέρων ὀνομάτων διὰ τοῦ. τος. κλινομένων κατ᾽ ὑποσολὴν τοῦ. τ. κέρας, γέρας

Τὸ. τε. πλεονάζει παρ᾽ αὐτοῖς, (λέγοντες. καὶ παρέλκει. ὡς ἡρόδοτος. ἐπεί τε ἐγένετο ταῦτα ἀντὶ τοῦ ἐπεί.

Τὰς εἰς. ους. ληγούσας γενικὰς τῶν οὐδετέρων διὰ τοῦ. εος. προφέρουσι. καὶ πᾶσαν δὲ πτῶσιν τῶν τοιούτων ἐντελῶς προάγουσιν. οἷον τείχεος, βέλεος. καὶ ἕκτορα δ᾽ἐκ βελέων ὕπαγε ζεύς.

Τῷ κ ἀντὶ τοῦ. π. ἐν τοῖς ἐρωτηματικοῖς καὶ ἀναφορικοῖς κεχρῆσθαι εἰώθασιν. οἷον πόσα, κόσα, ὅπως, ὅκως. ὁπόσα, ὁκόσα. πλὴν καὶ ἐν τοῖς ἄλλοις. τρέπουσι δὲ καὶ τὰ δασέα εἰς ψιλά. καὶ τὰ ψιλὰ εἰς δασέα. οἷον χιτὼν, κιθών. ἀκάνθιον, ἀχάντιον. καὶ βάτραχος, βάθρακος. καὶ τὰ ὅμοια.

Τὸ ω. ἀντὶ τοῦ. α. ἔσθ᾽ὅτε χρῆσθαι αὐτοὺς λέγουσιν. ὤνθρωπον τὸν ἄνθρωπον. καὶ τὸ ἄριστον, ὥριστον. ἐγὼ δὲ οἶμαι ἐκ συναλοιφῆς αὐτὸ μόνον τῶν εὐθειῶν ἔξω ποιεῖν αὐτοὺς, καὶ αὐτὸ τῶν κλητικῶν. ὥσπερ καὶ οἱ ἀττικοὶ ποιοῦσιν. αὐτίκα ἡρόδοτος αὐτὸ τῆς κλητικῆς οὕτω φησίν. ὤνθρωπε μὴ κτεῖνε κροῖσον. καὶ αὖ ἀλλαχοῦ. ὦναξ ἡράκλεις ἀντὶ τοῦ ὦ ἄναξ. καὶ σοφοκλῆς. ἀλλὰ γὰρ ὦναξ οὐδ᾽ὃς ἂν βλαστῇ μένει νοῦς τοῖς κακῶς πράττουσιν, ἀλλ᾽ἐξίσταται. καὶ ὅμηρος λοισθὸς ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους. ἀντὶ τοῦ ὁ ἄριστος. τὸ γὰρ. ω. καὶ. α. εἰς ω μέγα κιρνᾶται, ἢ συναλοίφεται. καὶ. τὸ. ο. καὶ. α. εἰς ω μέγα κιρνῶσιν. ὡς τὸ βόαξ, βῶξ. καὶ τὸ. αο. εἰς ω μέγα κιρνᾶται. οἷον τὰ ὅπλα θὤπλα. καὶ ἐπειδὴ τὸ ὅπλον δασύνεται, τρέπεται τὸ. τ. εἰς. θ. ἔξω δὲ ἀττικόν ἐστιν. εἰ. γὰρ ἦν ἰωνικὸν οὐκ ἂν ἐτράπη. ἐπεὶ τοῖς ψιλοῖς χαίρουσιν ἴωνες.

Τὸ ὠ ἀντὶ τοῦ. α. ἐν τῇ διφθόγγῳ χρῶνται. ὠυτὸς λέγοντες, ἀντὶ τοῦ αὐτός. καὶ θωυμάσας ἀντὶ τοῦ θαυμάσας. ἐντεῦθεν οἶμαι. καὶ τὸ φωριαμὸς ἰωνικῶς οὕτω λέγεσθαι, φαριαμὸς ὢν ἀπὸ τῆς ἐτυμολογίας, ἡ τὰ φάρεα κατέχουσα κιβωτός.

Τὸ τέμνειν, καὶ διαιρεῖν τὰς λέξεις ἰώνων

in foro uersabatur gloriosos uiros faciente, puto quod & cõuiuiũ attice producitur, & scribitur per o magnum. cib⁹. n. dicit̃ nutrimẽtũ, & cõuiuiũ, qđ bñ habet corpus, & continens.

Secundas personas singulares passiuorum faciunt ex tertia persona singulari, per subtractionem. τ. Home. cognosces atridem Agamẽnonem quẽ supra oẽs Iupiter ĩmisit in laborib. omnino. & rursus. quousq; plorans, & dolens tuum deuorabis cor.

Similiter & genitiuos a rectis in. ας. neutrorũ nominũ per. τος. declinatorũ p subtractionẽ. τ. cornu, præmii

τε. abundat apud eos, (dicentes. & supfluũ est. ut Herodot⁹. postq̃ facta sũt hæc, pro postquam.

In. ους. desinentes genitiuos neutrorum per. εος. proferunt. & omnem casum huiusmodi integre præagunt. ut parietis, sagittæ. Et hectorem ex sagittis subduxit Iupiter.

κ. pro. π. in interrogatiuis & relatiuis uti solent. ut quot, quot. quõ, quõ. quot, quot. non tamen in aliis. uertũt autẽ & aspiratas in tenues. & tenues in aspiratas. ut tunica, tunica. spinula, spinula. & rana, rana. & similia.

ω. pro. α. aliquando uti eos dicunt. hominem, hominem. & prãdium, prãdiũ. ego autẽ puto excollisione in solis rectis hoc facere eos, & in uocatiuis. quemadmodum & attici faciunt. principio Herodotus in uocatiuo sic inquit. o homo, ne occide Crœsum. & rursus alibi, o rex Hercules pro o Rex. & Sophocles. Sed enim o rex neq; q̃ germinauerit qdẽ manet mẽs male rẽ gerẽtib. sed loco mouet̃. & Hom. extremus uir optim⁹ ĩpellit᷑ solipedes equos, pro optimus. nam. ω. &. α. in ω, magnũ cõtrahit̃, et colliditur. et. ο. &. α. in. ω. magnũ cõtrahũt. ut boax, box. piscis gen⁹. et. αο. in. ω. magnũ cõmiscet̃. ut arma, arma. et quoniam arma aspiratur uertitur. τ. in. θ. hoc uero atticum est. si enim esset Ionicũ non uersum esset. quia tenuib. gaudent Iones.

ω. pro. α. in diphthongo utuntur. ipse dicentes pro ipse. & admiratus, pro admiratus. hinc puto et scrinium Ionice sic dictum, scriniũ, quod sit ab origine uocabuli. quod uesteis continet arca.

Incidere, et diuidere dictiones ionum

ιδίαν. ἀντὶ γὰρ τοῦ εἰπεῖν πελοπόννησος πέλοπος νῆσος λέγουσι. καὶ ἀντὶ τοῦ εἰπεῖν αἴγαγρον αἶγα ἄγριον.

Αἱ παραλήψεις τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν ἰώνων εἰσίν. ὅμηρος. πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν, ἀντὶ τοῦ ἀγόρευε καὶ πειρᾶν δ' ὥσκεν τρῶας ὑπερκύδαντας ἀχαιούς, ἀντὶ τοῦ πειρῶ. καὶ μυρία ἄλλα τοιαῦτα παρ' ὁμήρῳ, καὶ ἡσιόδῳ εὑρή(σομεν.

Αἱ παραλήψεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν ἰώνων εἰσίν. ὡς τὸ τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν. ἀντὶ τοῦ ἑσπέρα.

Αἱ διαιρέσεις τῶν εἰς. ει. ληγόντων ἑνικῶν δοτικῶν ἰώνων εἰσὶν ἴδιαι. βέλει βέλεϊ, καὶ ἔγχει ἔγχεϊ.

Τὰ εἰς. ω. λήγοντα θηλυκὰ ἐπὶ αἰτιατικῆς εἰς. ουν. περατοῦσιν. οἷον λητώ, λητοῦν. σαπφώ, σαπφοῦν.

Τὸ. ι. ἐξαιροῦσιν οἱ ἴωνες ἐνίοτε τῶν λέξεων. τὸ γὰρ πονεῖσθαι, πονέεσθαι φασίν.

Ἐφθάσαμεν εἰπόντες ὅτι τῶν ἰώνων ἐστὶ τὸ γράφειν, καὶ τὸ λέγειν, ὄφεος, καὶ πόλεος. νῦν δὲ φαμὲν ὅτι καὶ ταῖς κοιναῖς αὐτῶν γενικαῖς χρῶνται οἱ ἴωνες, καὶ μάλιστα ὅμηρος. ἐξ ἀγροῦ νόσφι πόλιος. καὶ ἱπποκράτης. ὑπὸ φθίσιος ἐχομένῳ διάῤῥοια ἐπιγενομένη θανάσιμος.

Αἱ ἐπαναδιπλώσεις τῶν δευτέρων ἀορίστων ἰώνων εἰσίν. ὡς τό, τετύκοντό τε δαῖτα.

Τῇ μεταθέσει τῶν στοιχείων ἴας χρῆται. οἷον κραδίην, ἀντὶ τοῦ καρδίαν. ἀτραπιτὸς ἀντὶ τοῦ ἀταρπιτός.

Τὸ δὲ διπλοῦν. σ. εἰς. ξ. τρέπουσιν ἴωνες. τὰ διστὰ γάρ, διξά. καὶ τὰ τριστά, τριξὰ λέγουσι.

Τὸ. ι. ὑπεξαιροῦσι πολλάκις τῶν λέξεων. αὐτίκα ἡρόδοτος ἡροδότου ἁλικαρνασῆος ἱστορίης ἀπόδεξις. ἀντὶ τοῦ ἀπόδειξις. ἀλλὰ καὶ τὸ ὑπεξαιρεῖν τῶν κτητικῶν τὸ. ι. τῶν ἰώνων ἐστίν. οἷον ἀργύρεος, χρύσεος, ὅμηρος ἑκτόρεόν τε χιτῶνα περὶ στήθεσσι δαΐξαι.

Τὰς εἰς. ες. ληγούσας εὐθείας τῶν πληθυντικῶν, εἰ μὲν ἀπὸ τῶν εἰς. ευς. εὐθειῶν γίνονται διὰ τοῦ. ηες. ἐκφέρουσι. βασιλῆες ἱππῆες. διότι καὶ τὴν γενικὴν οὕτω προφέρουσιν. εἰ δὲ ἀπὸ τῶν εἰς. ης. ἢ εἰς. υς. διὰ τοῦ. ε. οἷον ἀληθής, ἡ εὐθεῖα τῶν ἑνικῶν καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν παρ' ἡμῖν μὲν ἀληθεῖς διὰ τῆς. ει. διφθόγγου. ἰωνικῶς δὲ ἀληθέες. καὶ πάλιν πολύς, πολέες. ὡς τό, πολέες δέ μιν ἠρήσαντο φέρειν. καὶ ὀξέες ἧλοι.

Διαπορήσειε δ' ἄν τις. πῶς τὰς γενι(κὰς τὰς ἀπὸ τῶν εἰς. υς. εὐθειῶν οὐ προφέρουσι διὰ τοῦ. ηος. οἷον ἡδῆος ὀξῆος, ὥσπερ βασιλῆος, καὶ οἰκῆος. ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδέποτε οἱ παραλήγουσα τῆς γενικῆς μείζων θέλει εἶναι τῆς ληγούσης τῆς

proprium. ubi enim dicendum peloponesus pelopos insula dicunt. et ubi dicendum capream, capram similiter.

Acceptiones infinitiuorum pro imperatiuis Ionum sunt. Homerus omnia ualde uere narra, pro narra, & experiri autem ut Troiani gloriosos Achiuos, pro experire. & innumera alia hmoi apud Home. & Hesiodum (inueniemus.

Acceptiões masculinorum p fœmininis Ionum sunt. ut illud cum illis aut sese oblectātib. niger aduesper uenit, pro uespera.

Diuisiones in. ει. desinētium singularium datiuorum ionum sunt ppriæ. sagittæ, sagittæ. et hastæ, hastæ.

In. ω. desinentia fœminina in acto in. ουν. finiunt. ut latonam, latonam. sapphonem, sapphonem.

I extrahunt iones interdum ex dictionibus. nam laborare laborare dicunt.

Præuenimus dicendo q ionum est scribere, et dicere anguis, et ciuitatis. nunc autē dicimus quod cōmunibus ipsorum genitiuis utuntur iones, et præcipue Home. ex agro pcul ab urbe. et Hippocrates. tabe laborāti si pfluuium uētris superuenerit, mortale est.

Geminationes in secundis indefinitis ionum sunt. ut hoc, parauerūtq; epulum.

Trāspositiōe literarum Ionica lingua utit. ut cor, pro cor. uia pro uia.

Duplex. σ. in. ξ. uertunt Iones. σσ. duplicia. n. duplicia. et triplicia, triplicia dnt

I subtrahunt sæpe ex dictionib. pricipio Herodot' Herodoti halicarnasei historiæ demōstratio, p demōstratio. sed & subtrahere ex possessiuis. ι. ionum est. ut argēteus, aureus, Homerus, hectoreāq; loricā in pectoribus scindere.

In. ες. desinentes rectos plurales, si ab in. ευς. rectis fiunt, per. ηες. proferunt. reges. equites. quoniam et genitiuum sic proferunt. si uero ab in. ης. uel in. υς. per ε. ut uerus, rectus singularium, & rectus pluralium apud nos ueri per. ει. diphthongum. ionice autem ueri & rursus multus, multi. ut illud. Plēs āt ipm optauerunt gestare, & acuti (claui.

Dubitauerit āt qspiā, quō genitiuos ab in. υς, rectis non proferunt per. ηος, ut iucundi, acuti. sicut regis & domestici. est igitur dicendum quod nunquam penultima genitiui maior uult esse ultima nominatiui

εὐθείας

εὐθείας ὥσπερ τῶν περιττοσυλλάβως κλινομένων, οἷον αἴας. ἡ εὐθεῖα τὸ. ας. ἔχει φύσει μακρόν. ἡ δὲ αἴαντος γενικὴ θέσει μακρὰν ἔχει τὴν παραλήγουσαν. ἀλλὰ καὶ ἡ λάχητος φύσει μακρὰν τὴν παραλήγουσαν. ἢ οὖν ἴση ὀφείλει εἶναι ἡ παραλήγουσα τῆς γενικῆς τῇ ληγούσῃ τῆς εὐθείας. ἢ ἐλάττων ὥσπερ τοῦ αἴαντος, καὶ χαρίεντος, καὶ λέων λέοντος. οὐδέποτε δὲ μείζων. ἐπεὶ οὖν τὸ πηλεὺς καὶ τὰ ὅμοια εἶχον τὴν λήγουσαν μακρὰν ἐποίησαν καὶ οἱ ἴωνες τὴν παραλήγουσαν μακρὰν τῆς γενικῆς ἵν᾽ ᾖ ἴση τῇ ληγούσῃ τῆς εὐθείας μὴ οὔσης ἐντεῦθεν τοῦ κανόνος παραβάσεως. ὥσπερ δὲ τοῦ ἡδὺς οὐκ ἠδύνατο τρέψαι τὴν γενικὴν τοῦ ἡδέος εἰς. η. οὕτω γὰρ ἂν εὑρίσκετο μείζων ἡ παραλήγουσα τῆς γενικῆς τῆς ληγούσης τῆς εὐθείας. ἐπεὶ ὁ ἡδὺς βραχεῖαν ἔχει τὴν λήγουσαν καὶ ὀξὺς καὶ τὰ ὅμοια. τὰ γὰρ εἰς σ. λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ σ. τὸ οὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον. ὁ μέγας, τὸ μέγα. ὁ ἡδὺς, τὸ ἡδύ.

Τῆς θηλείας τὸ. ι. ἐξαιροῦσι, καὶ ὥσπερ πάσης πτώσεως. τοῦτο ποιοῦσιν. ἡρόδοτος τῶν θηλέων ἵππων μίαν τὴν ὁ δαρεῖος ἐς τὰ μάλιστα ἔστεργε. καὶ πάλιν ἐγχρίμπτων τῇ θηλέῃ.

Τὸ μὴ ἐκφωνούμενον. ι. ἐκφωνεῖν εἰώθασιν. ὅμηρος. ὑπερώϊον εἰσαναβᾶσα. καὶ πατρώϊός ἐστιν ἑταῖρος. καὶ ἡσίοδος. χρηΐζειν ἀπεόντος.

Αἱ προσθέσεις τοῦ. ι. πρὸ. ε. ἐπιφερομένου φωνήεντος, ἢ ἑνὸς τῶν ἀμεταβόλων ἰώνων εἰσίν. οἷον ἕως, εἵως. κεινὴ, ἀντὶ τοῦ κενή. καὶ ξεῖνος ἀντὶ τοῦ ξένος.

Τὸ μεταλλάττειν τὴν. οι. δίφθογγον εἰς τὴν. ες. συλλαβὴν ἰώνων ἐστίν. ὅμηρος. ἐρίηρες ἑταῖροι ἀντὶ τοῦ ἐρίηροι. ἐρυσάρματες ἵπποι. ἀντὶ τοῦ ἐρυσάρματοι.

Αἱ ἐναλλαγαὶ τοῦ. η. εἰς. α. βραχὺ ἰώνων εἰσίν. μεμακυῖα, ἀντὶ τοῦ μεμηκυῖα. καὶ λελασμένος ἀντὶ τοῦ λελησμένος. καὶ ἄλαστος, ἀντὶ τοῦ ἄληστος. εἰ δέ τις λέγει, πῶς ποτὲ μὲν τὸ. α. εἰς. η. τρέπουσιν. ὡς ἥρα, ἥρη. πιτὰν, πιτήν. ποτὲ δὲ τὸ. η. εἰς. α; ἴστω ὡς τὸ μὲν. α. εἰς. η. τρέπουσιν, ὅτε ἐστὶ τὸ. α. μακρόν. τὸ δὲ. η. εἰς. α. οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτε ἐστὶ τὸ. α. βραχύ. αἱ δὲ ἐναλλαγαὶ τοῦ βραχέος. α. εἰς. η. μεταγενεστέρων ἰώνων εἰσίν. ὡς τάδε δὴ ἐς τὴν ἀληθείην ἥκουσιν.

Αἱ ἀφαιρέσεις τῶν κατ᾽ ἀρχὴν συμφώνων ἰώνων εἰσίν. οἷον λείβειν εἴβειν. γαῖα αἶα. δεινός, εἰνός. ἀεὶ τὴν ων συλλαβὴν περιττὴν τιθέασι μεταξὺ τῶν προθέσεων ἐξ ὧν εἷλον. καὶ ἀπ᾽ ὧν ἔδοντο.

Τὰ πρῶτα φωνήεντα στοιχεῖα τῶν λέξεων ἀφαιροῦσιν οἱ ἴωνες ἐκεῖνος, κεῖνος. ἑορτὴ, ὀρτή.

in iis quæ inæqualiter declinantur, ut Aiax. rectus. ας. habet natura longũ. aiacis autẽ genitiuus positiõe longã habet penultimam. sed & lachetis natura longam penultimam. aut igitur æqualis debet esse penultima genitiui ultimæ recti, aut minor, ut in aiacis, & gratiosi, & leo leonis. nũquã autẽ maior. Quoniã igitur Peleus, & similia habebant ultimam longam fecerunt & Iones penultimã longã genitiui, ut sit æqualis ultimæ nominatiui, cũ nõ fieret ex hoc regulæ trãsgressio. In iucundus autem non potuit uertere genitiuum Iucundi in. η. sic. n. inueniretur maior penultima genitiui ultima recti. quoniam iucundus breuem habet ultimam, & acutus & huiusmodi. In σ. n. desinentia cũ ambigua p abiectionem σ. neutrum facientia correptam habẽt ambiguam. magnus, magnũ, suauis, suaue.

Ex fœmina. ι. extrahũt, & in omni casu hoc faciunt. Herodotus. fœminarũ equarũ unam, quã Darius præcipue amabat. & rursus, appropinquãs fœminæ.

Nõ pnũciatũ. ι. pnũciare solẽt (minæ. Home. cœnaculum cum ascendisset, & paternus est amicus. & hesiodus. Indigere absentis.

Additiones. ι. p̃. ε. sequente uocali, uel una immutabilium ionum sunt. ut quousq;, quousq;. uacua, uacua. & hospes, pro hospes.

Mutare. οι. diphthongum in ες. syllabam ionum est. Home. concordes socii pro concordes, tractores curruum equi, pro tractores curruum.

Immutationes. η. in. α. breue ionum sunt, mugiens. pro mugiens. & oblitus, p oblitus, & inobliuiscibilis, p inobliuiscibilis. Si qs ãt dicit, q̃uo alias. α. in. η. uertunt. ut iuno, iuno. titan, titan. alias. η. in. α.? scito, quod α. in. η. uertunt, cum est. α. longum. η. autem in. α. non generaliter, sed cũ est. α. breue. Immutationes autem breuis. α. in. η. posteriorum ionum sunt. ut hæc igitur ad ueritatem tendunt.

Exẽptiões eaꝝ, q̃ i pricipio sũt cõsonãtiũ ionũ sũt. libare, libare. terra, terra. grauis, grauis. semper. ων. syllabam abundantem ponunt inter præpositiones extraxerunt, deuorauerunt.

Primas uocales literas ex dictionibus extrahũt iões. ille, ille. fest⁹ dies, fest⁹ dies.

Τὰ σύνθετα ῥήματα διαλύουσι, καὶ μεταξὺ τιθέασι, τὰ ὀνόματα. οἷον λέων κατὰ ταῦρον ἐδηδώς. ἀντὶ τοῦ κατεδηδώς. καὶ τὰ δ' ἔκτανεν Ἠετίωνα ἀντὶ τοῦ κατέκτεινε.

Τὸ ἀναστρέφειν τὰς λέξεις ἰώνων ἐστὶν ἴδιον. οἷον ὄρνιθες ὥς, καὶ ᾧ ἔπι πολλ' ἐμόγησα.

Καὶ τὰ ὑπερβατὰ ἰώνων εἰσίν. οἷον αὐτὰρ ἐπεὶ διά τε σκόλοπας, καὶ τάφρον ἔβησαν, ἤγουν διέβησαν.

Αἱ διαιρέσεις τῶν εἰς ως ληγόντων ἐπιρρημάτων τῶν ἀπὸ τῆς γενικῆς πληθυντικῶν γινομένων, ἧς ἡ εὐθεῖα τῶν ἑνικῶν εἰς ης περατοῦται, καὶ εἰς ους ἔχει τὴν γενικὴν τῶν ἑνικῶν, ἰώνων ἴδιαι. οἷον εὐσεβής, εὐσεβοῦς. ἡ γενικὴ τῶν πληθυντικῶν εὐσεβῶν, καὶ τροπῇ τοῦ ν εἰς σ εὐσεβῶς. ἀληθής, ἀληθοῦς ἡ γενικὴ τῶν πληθυντικῶν ἀληθῶν, καὶ τροπῇ τοῦ ν εἰς σ ἀληθῶς. καὶ τἄλλα ὁμοίως. ταῦτα οὖν καὶ τὰ τοιαῦτα διαιροῦσιν οἱ ἴωνες ὁμοίως τοῖς ὀνόμασι ἀληθέως λέγοντες. καὶ ἀτρεκέως, καὶ εὐσεβέως. ἐπὶ μέντοι τῶν ὁσίων ὁσίως, καὶ δικαίων, δικαίως. καὶ θαυμαστῶν, θαυμαστῶς οὐκ ἔτι. τούτων γὰρ αἱ γενικαὶ οὐκ εἰς ους λήγουσιν ἵνα ὦσι διῃρημέναι, καὶ κατὰ τὰ ὀνόματα, καὶ τὰ ἐπιρρή(ματα.

Οἱ μὲν δωριεῖς ὡς εἴρηται ἐκτεινομένῳ χρῶνται τῷ α τρέποντες τὸ η εἰς αὐτό. οἷον ἥλιος, ἅλιος. νῆσος, νᾶσος. σελήνη, σελάνα. οἱ δὲ ἴωνες συστελλομένῳ χρῶνται αὐτῷ. καὶ ἁπλῶς εἰπεῖν, καὶ προσθέσει, καὶ ἀφαιρέσει, καὶ ἐπεκτάσει, κέχρηνται, καὶ συγκοπῇ. ἔστι δὲ ἡ μὲν πρόσθεσις τῇ ἀφαιρέσει ἐναντία. ἡ δὲ ἐπέκτασις τῇ συγκοπῇ. καὶ πρόσθεσις μέν ἐστιν, ὅταν ἐν τῇ πρώτῃ συλλαβῇ τοῦ ὀνόματος παραληφθῇ τι στοιχεῖον. οἷον ἕνεκα, εἵνεκα. καὶ Ἴλιον εἴσω. ἀντὶ τοῦ ἔσω. μόνος, μοῦνος. ὅλος, οὖλος. ταῦτα δ' ἐγὼ προσθέσεις οὐ λέγω, ἀλλὰ παρενθέσεις. ὡς καὶ ἐκεῖνα, ἔνατος, εἴνατος. πνέοντες, πνείοντες. ὡς ὅμηρος. οἱ δ' ἴσαν σιγῇ μένεα πνείοντες ἀχαιοί. καὶ ἡμῖν δ' εἴνατός ἐστι περιτροπέων ἐνιαυτός. πρόσθεσις δὲ λέγεται ὅταν ἐν ἀρχῇ τοῦ λόγου ἕτερον παραληφθῇ στοιχεῖον. οἷον σταφίς, ἀσταφίς. πᾶς, ἅπας. ἔστι δὲ τοῦτο καὶ ἀττικόν. κἄντε γοῦν πρόσθεσις, κἄντε παρένθεσις τῶν ἰώνων ἐστίν, ἀλλὰ καὶ τὰ ἐναντία τούτοις. ἔστι δὲ ἐναντία μὲν ὡς εἴρηται ἡ πρόσθεσις τῇ ἀφαιρέσει. ἡ δὲ παρένθεσις τῇ ἐλλείψει. ἔστι δὲ ἀφαίρεσις ἡ κατ' ἀρχὰς ἄρσις. ἐκεῖνος, κεῖνος. ἐκεῖσε, κεῖσε. ἑορτή, ὀρτή. ἔλλειψις δὲ ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον οὐ ποιοῦντος συλλαβήν. οἷον αἰμύξαι, ἀμύξαι. ἔστι δὲ τοῦτο καὶ ἀττικόν. ταῦτα μὲν ἴδια ἰώνων εἰσίν. ἤτε πρόσθεσις λέγω καὶ ἡ ἔλλειψις, καὶ ἡ παρένθεσις, καὶ ἀφαίρεσις.

Cõpoſita uerba diſſoluunt, & interponunt nomina. ut leo, qui de taurũ uorauit, ꝑ qui deuorauit. inter autem fecit Eetionem, pro interfecit.

Præuertere dictiões Ionũ eſt proprium. aues ceu, & quo in multum laboraui.

Hyperbata Ionum ſunt. ut ſed poſtquã, transq; palos, & foſſam ierunt, hoc eſt tranſierunt.

Diuiſiones in. ως. deſinentium aduerbiorum, quæ a genitiuo plurali fiunt, cuius rectus ſingularis in. ης. terminatur, & in. ους. habet genitiuum ſingularẽ ionũ ꝓpriæ. ut pi⁹, pii. genitiuus pluralis piorum. & mutatione. ν. in σ. pie. uerus, ueri. genitiuus pluralis, uerorum, & mutatione. ν. in σ. uere. & id genus alia. hæc igitur & huiuſmodi diuidunt Iones, ut nomina uere dicentes, & ueraciter, & pie. In ſanctis tamen ſancte, et iuſtorum, iuſte. et mirorum, mire non etiam. horum enim genitiui non in. ους. deſinunt. ut ſint diuiſi, & in nominibus, et in aduerbiis.

Dores, ut dictum eſt, producto utuntur. α. uertentes η. in ipſum. ut ſol, ſol. inſula, inſula. luna, luna. Iones autem correpte utuntur eo. & ut uniuerſaliter dicã, et additione, et ablatione, et interductione utuntur, et conciſione. eſt autem Additio ablationi contraria. Interductio uero conciſioni. & additio quidem eſt, cum prima ſyllaba nominis aſſumitur aliqua litera. ut cauſa, cauſa. & Ilium intra, pro intra. ſolus, ſolus. totus, totus. hæc aũt ego additamenta non dico, ſed interpoſitiones. ut et illa, nonus, nonus. ſpirãtes, ſpirãtes. ut Homerus. illi ibant taciti robora ſpirantes achiui. et nobis nonus eſt uoluens annus. Additio autem dicitur, cum in principio orationis alia aſſumitur litera. ut uua paſſa, uua paſſa. oĩs uniuerſus. eſt hoc et atticum. ſiue igitur additio, ſiue ſit interpoſitio, Ionum eſt. ſed contraria his. eſt autem contraria, ut dictum eſt, additio ablationi, interpoſitio defectui. Eſt uero ablatio in principio ſublatio. ille, ille. illuc, illuc. dies feſt⁹, dies feſt⁹. Defectus abectio uocalis de medio nõ faciẽtis ſyllabã. ut cruẽtare ſeu laniare. eſt autem hoc & atticum. hæc ꝓpria ionum ſunt. Additio inquã, & defectus, & interpoſitio, et ablatio.

καὶ ἐπὶ

καὶ ἔτι συγκοπὴ, ἥτις ἐστὶν ἐναντία τῇ ἐπεκτάσει. Ἔστι δὲ συγκοπὴ μὲν ἔνδεια μιᾶς συλλαβῆς κατὰ τὸ μέσον τῆς λέξεως. οἷον οἴμημα, οἶμα. κακόμορος, κάμμορος. ἐξαίρετος, ἔξαιτος.

Παρέκτασις δὲ πλεονασμὸς μιᾶς συλλαβῆς κατὰ μέσον. οἷον ἀδελφὸς, ἀδελφεός. ἔτυμος, ἐτήτυμος. ἔστιν ὅτε γίνεται συγκοπὴ, καὶ δύο συλλαβῶν. οἷον δευκαλιωνίδης, δευκαλίδης. ταύτῃ δὲ τῇ συγκοπῇ χρῶνται καὶ οἱ αἰολεῖς. χρῶνται δὲ καὶ ταῖς διαιρέσεσιν. ᾔδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν, ὡς ἐπονεῖτο. ἡ διαίρεσις δὲ τῇ συναλοιφῇ ἐναντία.

Ἔστι δὲ συναλοιφὴ δύο φωνηέντων διῃρημένων εἰς μίαν συλλαβὴν ἕνωσις. οἷον τὸ ὄνομα, τοὔνομα. καὶ ἔστιν ἴδιον τῶν ἀττικῶν. Ἡ δὲ ἀναδίπλωσις, ὡς ἔφαμεν, ἰδία τῶν ἰώνων. οἷον λάχωσι λελάχωσιν. Ἀλλὰ καὶ ἡ ἄρσις αὐτῶν· βεβλημένος, βλημένος. Ἔστι δὲ ἡ ἀναδίπλωσις ἐναντία τῇ ἄρσει. πάλιν ἡ συστολὴ τῶν ἰώνων ἐστί. οἷον ῥόχθει δὲ μέγα κῦμα ποτὶ ξηρὸν ἠπείροιο. Ἡ δὲ ἔκτασις οἷον πιθέμεναι πιθήμεναι ἀττικῶν.

Πάλιν ὁ λεγόμενος προσχηματισμὸς, πλεονασμὸς συλλαβῆς κατὰ τὸ τέλος. οἷον θεοῖς θεοῖσι. σοφοῖς, σοφοῖσι. μούσαις, μούσαισιν. οὕτως δὲ ἐναντίος ἐστὶ τῇ ἀποκοπῇ. ἔστι δὲ αὕτη τῶν δωριέων. οἷον ἱδρῶτα, ἱδρῶ. ὅμηρος· ἱδρῶ ἀπεψύχοντο. κυκεῶνα, κυκεῶ. Πάλιν ἡ παρέμπτωσις, ἥτις ἦν ἐναντία τῇ ἐκθλίψει τῶν ἰώνων ἐστίν. οἷον λεγόμεθα λεγόμεσθα. ἡ δὲ ἔκθλιψις μόνων τῶν δωριέων ἐστίν. οἷον σκῆπτρον, σκᾶπτον. Πάλιν τὸ διπλασιάζειν τῶν ἰώνων ἐστίν. ἤτοι ὁ διπλασιασμός. ὅς ἐστιν ἐναντίος τῇ παρελλείψει. ἔστι δὲ ὁ διπλασιασμὸς ὅταν ἔν τινι τῶν συμφώνων τὸ αὐτὸ σύμφωνον προστεθῇ. οἷον ὅτι, ὅττι. ὅττι κεν εἴπω. ὅσον, ὅσσον. ὅμηρος· τόσσον ἐχώσατο φοῖβος ἀπόλλων. Παρέλλειψις δέ ἐστιν ὅταν ἔν τινι τῶν διπλασιαζομένων συμφώνων παραλείπηται. οἷον κάλλιον, κάλιον. καὶ ἔστι τῶν δωριέων. ἔστι δὲ τῶν ἰώνων ἴδιον, καὶ τὸ ἀποβάλλειν τῆς. ει. διφθόγγου τὸ. ι. οἷον μείζων, μέζων. κρεῖσσον, κρέσσον. ἔστι δὲ ἔτι ἔλλειψις. ἔλλειψις δέ ἐστιν, ὡς προείρηται, ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον. οἷόν ἐστι καὶ τὸ αἰμύξαι ἀμύξαι. οὕτοι καὶ τὸ ἐπὰν, ἐπεὰν λέγουσι. ἡρόδοτος. ἐπεὰν ἐκβῇ εἰς τὴν γῆν ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος. ὁμοίως καὶ τὸ ἐνταῦθα, ἐνθαῦτά φασιν ἐνηλλαγμένως. ἡρόδοτος. ἐνθαῦτα ὁ τροχίλος ἐσδυνέων, ὡς ἀπὸ τοῦ ἔνθα.

Ζώην λέγουσι, καὶ τὴν ζῶσαν γυναῖκα. ὡς ἀπὸ τοῦ ζωός. τὸ λίαν, κάρτα λέγουσι.

& item concisio, quæ est contraria interductioni. Est autem concisio, defectus unius syllabæ in medio dictionis. ut ĩpetus, ĩpetus. infortunatus, infortunatus. p̃cipuus, p̃cipuus.

Interdictio, abundãtia unius syllabæ in medio. ut frater, frater. uerus, uerus. fit aliquando concisio, etiã duarũ sillabarum. ut Deucalionides, deucalides. hac concisione utuntur & æoles. utuntur & diuisionibus. nouerat enim in animo fratrem, quia laborabat. Diuisio autẽ contractioni contraria.

Est aũt cõtractio duarũ uocaliũ diuisarum in unam syllabam unio. ut nomen, nomen. et est proprium hoc atticorum. Reduplicatio, ut diximus, p̃pria Ionũ. ut sortiantur, sortiantur. Sed & sublatio ipsorum percussus, percussus. Est autem reduplicatio cõtraria sublationi. Rursus correptio Ionũ est. ut obstrepebat aũt magn⁹ fluctus ad siccã continentẽ. Productio aũt. ut ponere, ponere atticorum.

Rursus quæ dicitur adfiguratio, abundantia syllabæ in fine. ut deis, deis. sapientib. tibus. musis, musis. hæc contraria est abcisioni. est autem hæc doriẽsiũ. ut sudorẽ, sudorem. Homer⁹ Sudorẽ abstergebãt. miscellã potõis. Rursus intercidentia, quæ erat cõtraria elisioni Ionum est. ut dicimur, dicimur. Elisio autem Doriensiũ tãtum est. ut sceptrũ, sceptrum. Rursus duplicare Ionum est. siue duplicatio, quæ est contraria prætermissioni. est autem duplicatio, cum in aliqua consonantium eadem consonans addatur. ut q̃m, q̃m. q̃m dicam. quantum, quantum. Home. tãtũ iratus est Phœbus apollo. Prætermissio est, cum aliqua ex geminatis consonantib. deficiat. ut melius, melius. & est Doriẽsiũ. est autẽ ionũ proprium, & abiicere ex. ει. diphthongo. ι. ut maior, maior. melius, melius. est autem defectus, qui est, ut prædictum est, abiectio uocalis de medio. quale est, cruentare dilaniare. hi postq̃, & postq̃ dicunt. Herodotus. cum descendit in terrã ex aqua crocodilus. eodem modo. hic, hic aiunt p̃mutatim. Herodotus. hic trochilus ingrediens, quasi ab eo, quod inde.

Viuam dicunt, & uiuentẽ mulierẽ, tanq̃ a uiuus. Valde, ualde dicunt.

Τὸ μέγεθος μέγαθος λέγουσιν. ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν. πρόσωπον δὲ ἐς τὰ μάλιστα ἐπίγρυπον, μέγαθος ὅσον κρέξ.

Τὸ. ε. καὶ. ο. εἰς τὴν. ου. δίφθογγον κίρναται παρ' αὐτοῖς. ἡρόδοτος. ἐς τοῦτον ὁρέων πῖνε τε, καὶ τέρπευ. ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος. καὶ πλοῦνας τοὺς πλείονας μετὰ τὴν ἑλένης ἁρπαγὴν ἑλλήνων στρατιὰν πολλὴν βοηθεῦσαν μενελάῳ.

Τὸ σφίσι σφὶν λέγουσι.

Τὸν μὴ ἀπαγορευτικὸν σύνδεσμον ἀντὶ τοῦ μὴν παραπληρωματικοῦ λαμβάνουσιν. ὡς παρ' ἡροδότῳ, μὴ ἔχειν ἑλένην.

Τὸ ἕως οὗ, ἐς ὃ λέγουσιν. ἡρόδοτος ἐς ὃ ἐξεῖλον τὸ πάλιν. αὖτις ἀεὶ λέγουσι, καὶ οὐκ αὖ.

Τοῦ ἐπιτήδειος τὸ. ι. ὑπεξαιροῦσιν (Θησ. καὶ ἐπιτήδεος λέγουσιν. ἡρόδοτος. ἵνα πυνθάνοιτο ἐν ἐβιτηρίᾳ ἐπιτηδεότης.

Η κρᾶσις τοῦ. ι. καὶ. ε. εἰς. ι. μακρὸν τῶν ἰώνων ἐστὶν. ἱερεύς, ἱρεύς. ἱέραξ, ἵραξ. καὶ τροπῇ τοῦ α. εἰς. η. ἵρηξ κατὰ τὴν αὐτὴν διάλεκτον. Ησίοδος. ὧδ' ἵρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον. καὶ ὄφιες, ὄφις ἰωνικόν.

Τὸ τέμνειν τάμνειν λέγουσι. ἡρόδοτος ἐν δευτέρᾳ. τοὺς ἱερέας τοὺς ἐν αἰγύπτῳ συλλέξαντας πάντας μέσους διατάμνειν. καὶ Ιπποκράτης. φλέβα τάμνειν.

Τοῦ ἐνέγκω ἀφαιροῦνται τὸ. γ. καὶ ἀντ' αὐτοῦ ἐπεντιθέμενοι τὸ. ι. ἐνείκω λέγουσιν. ἡρόδοτος μυριαχοῦ τούτῳ χρῆται.

Τὸ ἐκπλεύσας ἐκπλώσας λέγουσιν. ἡρόδοτος. κατὰ λήϊον ἐκπλώσαντες.

Τὸ σφεῖς, σφᾶς, καὶ σφῶν διαιροῦσι καὶ οὕτω προφέρουσι σφέες, καὶ σφέας, καὶ σφέων. ομηρος. ἀλλὰ σφέας κρατερὸς διομήδης ἐξενάριξε.

Τὸν νοῦν καὶ τὸν ῥοῦν, καὶ τὸν χροῦν διαλύουσι, νόον, καὶ ῥόον, καὶ χρόα λέγοντες. ὅμηρος. ταμεσίχροα χαλκόν. ἡρόδοτος. οἱ οὐκ ὧδε νόον τρέπουσι. Τῇ ἔπων οὐ χρῶνται μετοχῇ ἀλλὰ τῇ ἔπας.

Ε ἰρώτα διὰ διφθόγγου γράφουσιν. καὶ οἶμαι διὰ τοῦτο ἐπεὶ συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν. ἔστι γὰρ παρ' αὐτοῖς ὁ παρατατικὸς ἔρωτα. εἶτα ἐπενθέσει τοῦ. ι. γίνεται εἰρώτα. οὕτω καὶ τὸ ἐπανείρετο παρ' αὐτοῖς διὰ τῆς. ει. διφθόγγου γραφόμενον. ἢ ἀπὸ τοῦ θέματος προσλαμβάνει τὴν. ει. δίφθογγον. ἔστι γὰρ τὸ ἔρωτῶ, καὶ ἔρω, καὶ γίνεται παρενθέσει τοῦ. ι. εἴρω, εἴρομαι, εἰρόμην, εἴρου, εἴρετο.

Ε τι οἱ ἴωνες τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν οὕτω ποιοῦσιν ἐν τοῖς τρίτοις προσώποις τῶν ἑνικῶν τοῖς ἔχουσι πρὸ τοῦ. τ. ψιλόν. τρέπουσι τὸ ψιλὸν εἰς τὸ ἀντίστοιχον δασύ, καὶ ποιοῦσι προσθήκην τοῦ. α. νένιπται, νενίφαται. λέλεκται, λελέχαται. εἰ

Magnitudo, magnitudo dicũt. Herodotus in secũda historia. facies aũt maxie naso aduũco. magnitudo q̃ta crex auis maria.

ε. & ο. in ου. diphthongum miscetur. apud eos. Herodotus. ad hunc aspiciẽs, bibeq; & lætare. eris. n. cũ obieris talis. & plures, plures. post Helenæ raptũ græcorũ exercitum multũ auxiliantem Menelao.

Sibi, sibi dicunt.

Ne negatiuam coniunctionem, pro μὴν completiua accipiunt. ut apud Herodotũ, habere Helenam

Quousq;, quousq; dñt. Hero. quousq; abstulerũt. rursus, iterũ sp dicũt, & non iterũ.

Idoneus. ι. eximunt, & idoneus dicunt. Herodotus. ut rogaret iuuenilis aptitudo.

Cõtractio. ι. & ε. in ι. longum Ionum est. sacerdos, dos. accipiter, ter. & mutatiõe α. in η. accipiter per eandem linguam Hesiodus. Sic accipiter allocut⁹ ẽ lusciniam colliuariã. & angues, angues ionicum.

Incidere, incidere dicunt. Herodo. in secunda. sacerdotes in ægypto collectos omneis medios dissecare. Hippocrates, uenam incidere.

Ex fero auferunt. γ. & pro eo interponentes. ι. fero dicunt. Herodotus decies millies hoc utitur.

Nauigans, nauigans dicunt. Herodotus. secundum segetem nauigantes.

Ipsos, ipsos, & ipsorũ diuidũt, & sic proferunt ipsi, & ipsos, & ipsorũ. Homerus. sed ipsos fortis Diomedes spoliauit.

Mentem, & fluxum, & cutem diuidũt mentẽ, & fluxũ, & cutẽ dicẽtes. Homerus. corpus incidens ferrũ. Herodo. qui non in mentem uertunt. fatus non utuntur participio, sed fatus.

Interrogabat p diphthõgũ scribũt. & puto, ppter hoc, q̃m eodem modo incipere faciũt præterita, ut propria præsentia. est enim apud ipsos præteritũ imperfectũ ĩterrogabat. deĩde ĩterpositiõe. ι. fit interrogabat. sic & interrogauit apud eos per. ει. diphthongum scriptum, uel a positione assumit. ει. diphthongum. est enim interrogo, & dico, & fit appositiõe. ι. rogo, rogo. interrogabã, interrogabas, interrogabat.

Etiam iones tertias personas pluraleis passiuorũ ptorũ pfectorũ sic faciũt in sonis singularib. habẽtib. τ. tertiis per tenue. uertunt tenuem in suam aspiratam, & faciunt additamentũ. α. lotum est, lota sunt. dictũ est, dicta sunt. si

μὲν τοι

μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ. ς. βαρύτονον τότε καὶ τὸ ἰωνικὸν ἔχει πρὸ τοῦ. αται. τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου. πέφρασται, πεφράδαται, ὅτι πέφραδα. εἰ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγομένων, ταύτην συστέλλουσι πρὸ τοῦ. αται. εἰς τὴν ὀφειλομένην συστολήν. πεποίηται, πεποιέαται.

ε τι στοιχοῦσιν ἴωνες ἔνθα τῶν εἰς. δης. ληγόντων πατρωνυμικῶν ταῖς ἐπεκτάσεσι, πηλειάδην λέγοντες, καὶ λαερτιάδην. ὤφειλε γὰρ εἶναι ἡ γενικὴ λαερτίδην. ἔνθα τὰ εἰς δης. πατρωνυμικὰ μιᾷ συλλαβῇ περιττεύουσι τῆς γενικῆς τοῦ πρωτοτύπου. οἷον πηλέως, πηλείδην. πριάμου, πριαμίδην. οὕτω καὶ λαέρτου, λαερτίδην ὤφειλον εἶναι τὸ πατρωνυμικόν. ἀλλ' οἱ ἴωνες ποιοῦσιν ἐπέκτασιν, καὶ οὕτω προφέρουσιν λαερτιάδης λέγοντες, πηλειάδης. εἶτα κατ' ἐπέκτασιν ἀττικὴν, πηληϊάδης.

χ ρῶνται δὲ καὶ ταῖς μεταθέσεσιν. ἔστι δὲ μετάθεσις ὅταν ἢ τὸ πρῶτον στοιχεῖον τῆς ἰδίας γένηται συλλαβῆς, δεύτερον. οἷον ἀτραπητὸς, ἀταρπητός. ἐκ γὰρ τοῦ τρέπεσθαι γέγονε καὶ τοῦ. α. στερητικοῦ μορίου. καὶ ἔστιν ἡ εὐθεῖα ἡ ἀτραπητὸς, ἤγουν ἡ ὁδός. εἶτα γέγονε μετάθεσις τοῦ στοιχείου, καὶ λέγεται ἀταρπητός. ἢ τὸ δεύτερον πρότερον. οἷον καρδία, κραδία. καρτερὸς, κρατερός. τέταρτον. τέτρατον. ὅμηρος. τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα.

ι στέον δὲ ὡς διαφέρει μετάθεσις ὑπερθέσεως. ἡ μὲν γὰρ μετάθεσις ἐν τῇ αὐτῇ συλλαβῇ γίνεται: ἡ δὲ ὑπέρθεσις ἐν ὑστέρᾳ. ὡς τὸ ὀθνεῖος. ἦν γὰρ νόθος, νοθεῖος, καὶ καθ' ὑπέρθεσιν ὀθνεῖος. καὶ πάλιν γόνυ, γόνυος, καὶ δόρυ, δόρυος. καὶ καθ' ὑπέρθεσιν γουνός, καὶ δουρός. χρῶνται δὲ καὶ τούτῳ τῷ πάθει οἱ ἴωνες.

ε ἰδέναι δὲ χρὴ ὡς ἡ μὲν ἀρχαία ἰὰς μετέπεσε περὶ τὴν τῶν κατοικούντων μεταβολήν. καὶ διέμεινεν ἕως ἐκείνου τοῦ καιροῦ ἐφ' ᾧ ἐποίησαν οἱ ἴωνες τὰς ἀποικίας, καὶ διεσπάρησαν εἰς τόπους πλείονας. λέγεται δὲ παρ' αὐτοῖς τὸ μὲν ὑγιαίνειν, οὐλεῖν ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων οὐλὰς λέγομεν. ὁ δὲ λόγος, μῦθος. καὶ τὸ μαντεύεσθαι, ἀνελεῖν. καὶ τοὺς τόπους ἐν οἷς ἀνεστρέφοντο, ἤθη. καὶ τὸ ἐπιμελῶς, ἀνακῶς. ἀντὶ τοῦ ξενίαν ἐδωρήσατο, ξενίων συνεθήκατο. καὶ τὸ ἀπατητικῶς, ἢ ἐπιμελῶς, ἐπιστρεφέως. καὶ τὸ ἠχούσης, ἐχούσης. καὶ τὸ θυμωθεὶς, καὶ παραχθεὶς, ἀπεχθείς. καὶ ὁ ἔποικος, ἐφέστιος. καὶ ὁ δυσφορῶν ἠμέκτεεν. καὶ ἀντὶ τοῦ ἕτεροι δὲ, μετεξέτεροι λέγουσιν. καὶ ἀντὶ τοῦ ἡσυχάζων, ἐλινύων.

λ έγουσι δὲ καὶ τοὺς κατὰ δήμους καὶ

tamen fuerit cõmune, p. ς. grauitonum tunc & ionicum habet ante. αται. formatiuam medii præteriti perfecti. dictum est, dicta sunt. Quoniam dixi. Si tamen a circunflexis natura longam penultimã habẽtibus, hãc corripiunt ante. αται. in debitam correptionem, factum est, facta sunt.

Item constituunt Iones in. δου. desinentibus patronymicis intensiones, peliadæ dicentes, & laertiadæ. debebat enim esse genitiuus laertidæ. Quoniam in δης. patronymica una syllaba superant genitiuum primitiui. ut Pelei, Peleidæ. Priami, priamidæ. sic & laertæ, laertidæ debebat esse patronymicum. sed Iones faciunt intensionem, & sic proferunt, Laertiades dicentes, Peliades. deinde p ꝑductioné atticam. Peleiades.

Vtuntur aũt & transpositionib. est autẽ transpositio, cum uel prima litera propriæ fit syllabæ secunda. ut uia uia. ex uerti enim facta est, & a priuatiua particula. & est rectus uia. scilicet uia. Inde facta est transmutatio literæ, & dicitur uia. aut secunda prima. ut cor, cor. fortis, fortis. quartum, quartum. Home. Quartus dies fuit, & in eo perfecta sunt omnia.

Sciẽdũ q̃d differt trãspositio a suppositione. nam transpositio in eadem syllaba fit. Suppositio uero in posteriore. ut extern⁹. erat enim notus externus, & p suppositioné extern⁹ & rursus. genu, genu. hasta, hastæ, & p suppositionem genu, & hastæ. utuntur & hac passione Iones.

Scire aũt oportet, q̃d antiqua Ias decidit iuxta inhabitantium mutationem. & permansit usq̧ ad illud tempus, quo fecerunt Iones colonias, & disseminati sunt in loca plura. Dicitur autem apud eos ualere, ualere. unde & sana uulnera cicatrices dicimus. & sermo, fabula. & diuinare, sortes edere. & loca, in qbus uersabãt, cõsuetudĩes. & diligẽter, diligẽter. Pro amicitiã donauit, amicitiam pact⁹ é. & frauduléter, uł diligẽter, puersim. & resonantis, habentis. & iratus, & conturbatus, acceleratus. & familiaris, laralis. & moleste ferẽs, moleste ferens. & pro alii autem, alii dicunt. & p quiescens, moram trahens.

Dicunt & qui secundum tribus &

ἀριθμὸν τῶν τριάκοντα ἀνδρῶν δεῖπνα.

Καὶ τὸν διανοηθέντα ἐννοήσαντα. Καὶ τὸ ἀνέπεισεν, ἢ ἐδίδαξεν, ἀνέγνωσε. Καὶ τὰς βαφὰς, φάρμακα. Καὶ τὰ ἀναλώματα, τέλη. Καὶ λαύρας λέγουσι τὰς ῥύμας τὰς ἀμφόδους. Σαγάρεις δὲ τοὺς πελέκεις, ἢ τὰ ἐκ χειρὸς ὅπλα. Ἄρδεις τὰς φαρέ- (τρας.

Φάλαρα τὰ περὶ τὰς γνάθους σκεπάσματα. Ψῶρας δὲ τὰ ἐν τοῖς ὀλιώθοις γινόμενα ζωΰφια. Σχοινοτενὲς τὸ μακρὸν, καὶ ὀρθόν. Συμψήσας δὲ λαμβάνουσι ἀντὶ τοῦ συντρίψαι. Αἱμασιαὶ δὲ τὸ ἐκ χαλίκων ᾠκοδομημένον, καὶ ἄνευ πηλοῦ τοῖχον.

Θραῦσος τὸ κλάσμα, τὸ τρύφος, (χεῖον. τὸ ἀκρωτήριον. Καὶ ταρσοὺς δὲ καλάμων τὴν πρασιὰν οὗ ἐξήραινον τὴν πλίνθον.

Ἔμβολον δὲ τὸ χάλκωμα τὸ προστιθέμενον κατὰ πρῷραν ταῖς ναυσίν. Ἐναγίζειν δὲ τὸ χοὰς ἐπιφέρειν, ἢ θύειν τοῖς κατοιχομένοις. Πρόχησιν δὲ τὸ ἀποσπείσαι. Ἔπιπλα τὴν μὴ βαθεῖαν κτῆσιν, ἀλλ' ἐξεπιπολῆς. Λεύκην δὲ καλοῦσι πάθος τι περὶ ὅλον τὸ σῶμα. Κνυζήματα δὲ τὰ γοερὰ ἀποφθέγματα. Γεωπείνας δὲ, τοὺς ἐπὶ γῆς πεινῶντας, καὶ ἀπορουμένους. Τὸ δὲ ἱκανώσας, ἀπώσας. ὡς καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ. Τὸ δὲ μέτριον καὶ καλῶς ἔχον ἐπιεικέστατον. τὸ δὲ ἀποδεχόμενοι κάμπτοντες φασί. Κορύνην δὲ λέγουσιν ἐπικαμπές τι ξύλον. Εὐμαρείαν δὲ τὴν ἀπόπατον. Τὰ δὲ ὀπτόμενα πεσσόμενα. Βάρεις δὲ τὰς ναῦς. Ὄσιριν δὲ καλοῦσι τὸν Διόνυσον.

Τὰς δὲ ἁλύσεις ἀφιδέας. οἱ δὲ (στρε- πτὰ ψέλλια. τὸ δὲ καθαίρειν πόμα ἐκ ζειῶν, καὶ ὕδατος συρμαΐζειν. Λίνον δὲ ᾠδῆς ὄνομα, ἢ λύρας χορδήν. Θυσάνους δὲ τοὺς κροσσούς. ἀποφορὰν δὲ τὴν τελουμένην παρὰ τῶν δούλων τοῖς δεσπόταις. Λύσιν δὲ τὴν πορείαν, καὶ ἔφοδον. Συρνέη δὲ παρ' αὐτοῖς ὀνομάζεται λάχανόν τι σελίνῳ ἐοικὸς, ἢ βρῶμα διὰ στέατος, καὶ μέλιτος. Ἐνηβητήρια δὲ, τὰ εὐωχητήρια. Τριφάσιοι δὲ, παρ' αὐτοῖς λέγονται οἱ τριπλάσιοι τρίφωνοι.

Ἀπεματαΐζε δὲ τὸ ἐμώρανε σημαίνει παρ' αὐτοῖς. Ἀποτιμοτέρους δὲ τοὺς ἀτιμοτέρους λέγουσιν. Ἀφηλικέστερον δὲ τὸ πρεσβύτερον. Τὸν δὲ φανερὸν, ἐπάϊστον. Φρενήρη δὲ τὸν σώφρονα. λαμβάνουσι δὲ τοῦτο καὶ ἐπὶ τοῦ ἐναντίου.

Καταπροΐξεσθαι δὲ λέγουσι τὸ προῖκα ποιῆσαι. καὶ τὸν καταφανῆ ἐπίλαμπρον. Λάξιν δὲ τὸν μερισμὸν, ἢ τὸν κλῆρον. τὸν καταπεπονημένον τετρυγημένον λέγουσι.

Τὸ πολεμεῖν ἀντιάζειν λέγουσι. τὰ αἰδοῖα μέζεα. Ἡσίοδος. οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο. Τὸ καταπαιχθεὶς καὶ γελασθεὶς διαβλεβη-

numerum triginta uirorum, cœnas.

Eũ qui cogitauit, qui in aĩo habuit. & persuasit, uel docuit, notificauit. & tincturas, medicamenta. & impensas, tributa. Agniportus dicunt uicos biuios. Secures autem bipennes, uel ex manu arma. Pharetras, pharetras.

Phaleras circum maxillas tegumenta. psenas, quæ in grossis nascuntur bestiolæ. prolixum, longum, & rectum. Qui confricauit accipiunt pro qui contriuit. Maceriæ, qui ex lapidibus ædificatus, & sine cœno puus paries.

Fragmẽtum, fragmentum, frustum promontorium. & Tarsos calamorum frondes, ubi siccabant lateres.

Rostrum æs appositum in prora nauibus. Parentare inferias inferre, aut sacrificare mortuis. profusioné aũt libationem, mobilia non altam supellectilé, sed superficiem. uitiliginé uocãt morbũ quendã per totum corpus. gannitus lugubres uoces. Terrifamelicos, qui in terra esuriunt, ac egent. qui satisfecit, qui expulit. ut Herodotus in secunda. modicum, & bene habens æquissimum. admittentes autem flectentes aiunt. clauam dicunt inflexũ quoddã lignũ. Eumaream, latrinam. assa, digesta. bares, naues. Osirim uocant liberum patrem,

Catenas torques, aliqui uero armillas. purgare autem potioné ex zea frumento, & aqua purgare. linũ cãtilenæ nomen, uel lyræ chordam. fimbrias autem fimbrias. apophoram autem, quam faciunt serui dominis.

Iysim incessum, & accessum. Syrnea apud eos dicitur holus quoddam apio simile, uel cibus ex adipe, & melle. Enebeteria iuuenilia epularia. Triphasii apud eos dicuntur triplasii, triuoces.

Vanefactus ẽ, isatuatus ẽ significat apud eos. dehonestatos autem inhonoratos dicunt. ætate prouectiorem uero seniorem. manifestum aũt audibilem. mentis compotem prudentem. accipiunt auté hoc & in contrario.

Dedotari dicũt impune, seu gratis facere. & manifestũ illustrem. sortitioné, partitioné, uel sorté. labore confectum uindemiatum dicunt.

bellare ire obuiam dicunt. pudibunda ueréda. Hesio. caudas ãt sub pudibũda põe lusus, uel derisus calumnia- (bát.

μένος

μένος λέγουσιν. Ἡρόδοτος· ὦ βασιλεῦ διαβεβλημένος ὑπὸ Ἀμάσιος οὐ μανθάνεις.

Τὸ καλλωπίσας ἀσκήσας λέγουσιν. ὅς ἐμὲ σοὶ κόσμῳ ἀσκήσας ἀπέπεμψεν ὡς ἑαυτοῦ θυγατέρα.

Ἐναρίες οἱ ὁπλῖται ὀνομάζονται παρ' αὐτοῖς. Διασφάγες δὲ, αἱ διεστῶσαι πέτραι. γνωσιμαχεῖν δὲ τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, τήν τε τῶν ἐναντίων ἰσχύν. Σισύρα δὲ βαρβαρικὸς χιτών. Ὑβρίζειν τὸ σκιρτᾶν. Σινύπη δὲ τῶν ῥυπαρῶν προβάτων ἔριον, καὶ τὸ διαχώρημα τοῦ προβάτου. Νεοχμῶσαι δὲ τὸ νεωστὶ κινῆσαί τι. Φερέγγυος ὁ βεβαιωτής. Ἔφεδρος ὁ ἐπίκληρος. Ἐγκατεύειν, τὸ διώκειν. Τετραπτερυλλίδες λέγονται παρὰ Ἴωσιν αἱ ἀκρίδες, παρὰ τὸ τέσσαρα ἔχειν πτερά. δύο μὲν ἔξω, μείζω, ἐλάσσω δὲ ἔσωθεν ἕτερα δύο.

Τὸ οὐκ ἱκνεομένως ἀντὶ τοῦ προσηκόντως οὐ καθηκόντως παρ' αὐτοῖς λαμβάνεται. τὸ ἀπουπλίξατο ἀντὶ τοῦ ἀπέφυγε. πλὶξ γὰρ τὸ βῆμα. ἐξ οὗ πλίγματα τὰ πηδήματα. ὅθεν καὶ τὸ περιβάδην ἀμφιπλὶξ, παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος. αἳ δ' εὖ μὲν τρέχον. εὖ δ' ἐπλίσσοντο πόδεσσιν. καὶ τὸ ψῶσαν, ἀντὶ τοῦ θάλπουσαν. ἔστι δὲ παρ' αὐτοῖς καὶ τὸ ψῶ ἀγροικικὸν προσφώνημα. κόλλιξ δέ ἐστιν εἶδος ἄρτου περιφεροῦς. ἐξ οὗ καὶ τὰ παρ' ἡμῖν κολλίκια. σχοίνων δὲ συμβολεῖς οἱ ψιαθοπλόκοι. καὶ ἰθαγενεῖς οἱ γνήσιοι παῖδες. Πρόξενοι δὲ οἱ προστάται τῶν πόλεων. καὶ οἱ φροντισταὶ καὶ ξενίων ὑποδεχόμενοι. Σπαργᾷ δὲ τὸ ὀρέγεται, καὶ ἐπιθυμεῖ. Κορδίνημα δὲ τὸ καρηβαρεῖν παρ' αὐτοῖς. γράφεται δὲ καὶ σκορδίνημα. ἴξις δὲ ἡ εὐθυωρία. Ῥοικὸν δὲ τὸ εἴσω νεῦον, καὶ στραβόν. ὃ καὶ ῥοιβὸν λέγεται. Σαπρὸν δὲ τὸ σεσηπός. Τὸ δὲ ἐπιπάσσω παλύνω φασί. Τὰ δὲ πρόσφατα ποταίνια. Βλακὸν δὲ τὸ τρυφερόν. τοὺς δὲ φρυγανώδεις ἄνθρακας μαριληνούς. μάλη δὲ ἡ θέρμη. Σποδιὰ δὲ μαρίλη λέγεται. μελεδανθέων δὲ ἀντὶ τοῦ μεριμνῶν θεραπειῶν. μελεδαίνειν γὰρ λέγεται τὸ μεριμνᾶν. Μισύλλην τὸν κοῖλον ἄρτον λέγουσι. καὶ τὸ μυδῶσα, ἐκκρέουσα. Καὶ τὸν δημόσιον ἐπιδήμιον. Καὶ τὸ ἐκθλίβειν βλιμάζειν. Καὶ τὸ ἐστέναξεν ἔμυξε. Καὶ τὰ τὴν κάτω κοιλίαν καθαίροντα φάρμακα ἐλατήρια. Τὸ ἐνέδησεν ἐνεκείκωσε. Τὸ εἰς δύο διαιρεθῆναι ἐδικαιώθη φασί. Καὶ ἡ εὐθυώτης εὐθυωρία. καὶ τὸ ἐτυλώθη ἐμυλώθη. τὸ ἐγχρίπτει ἐμπηδᾷ. Τὸ ἐκτόπως, καὶ παραδόξως, ἐκτοπίως. τὸ εὐφορώτερον ἐπισχώτερον. τὸ μυλῶνα ζώπειον. τὸ ὁμοιωμένον δελφυωμένον φασί. ὡς καὶ τὸν πυρετὸν θερμωλήν, καὶ θα-

tus dicunt. Herodotus o rex calumniatus ab Amasi non animaduertis.

Exornans excolens inquiunt. qui me tibi ornaméto excultã dimisit, tanquam suam filiam.

Spoliatitii milites armati noĩant apđ ĩpos interiugulatiões, discissa saxa. mentipugnare, cognoscere suam imbecillitatem, & inimicorum robur. Sisyra, barbarica uestis. cõtumelia afficere, insultare. Sinype sordidarum ouium lana, uel excremétum ouis. Innouare, recens mouere aliquid. sponsor confirmator. Subsessor secũdus hæres. Intestinare est psequ. quadripennulæ dicuntur apud ionas locustæ, eo qđ quatuor habeát pénas, duas extra maiores, minores ất int⁹ alteras duas

Nõ sufficiẽter, p conuenienter, non officiose apud eos accipitur. exiliuit, pro aufugit. gradus enim gradus. ex quo saltus, saltus. uñ et utrinq; ĩuadere, utriq; ĩuadere apud Sophoclé in Triptolemo. & Home. q̃ bene cucurrerunt, bene euaserunt pedib. & fricantem, p fouentem est autem apud eos & pso rustica allocutio. Collix autem est species panis rotundi, ex quo & quæ apud nos crustula. iuncoꝝ cõplicatores, storearũ nexores. & indigenæ legitimi filii. tutores hospitum, antistites ciuitatum. & curatores & hospitii susceptores. turget ất desiderat, & cõcupiscit. distorq̃re corpus est grauari apđ eos. scribit́ ất (p lassitudine ea dictio ét pposito. σ. itio auté recta linea. intro nutãs, & tortũ, qđ etiã p. β. (curuũ, scribitur. marcidum auté quod marcuit. inspgo auté madefacio dicunt. recentia, recentia. segne, delicatum. aridorum fruticum carbones, marilenos. male nãq; calor. cinis autem marile dicitur. solicitus de cura, solicitus de cura. medés. solicitũ enim esse dicitur curare. pané cõcauũ, panem concauum dicunt. & sanie madens effluens, & publicum popularem. & elidere manib. mulgere. & ingemuit, mussauit, & imum uentrem purgantes medicinas agitatoria. alligauit, infibulauit. in duo diuisum eé disiectum é dicunt. & rectitudo, rectalineatio. occaluit, tãquã olla diriguit. appropĩquat, ĩsilit. enormiter, & præter opinioné enormiter. fertili⁹, qđ meliore successu est. molédinum pistrinum. assimulatum, matricatum dicunt. ut & febrem feruorem, & tha-

λάμους τὰς καταλύσεις. καὶ θεάζειν τὸ κατὰ τὴν ψυχὴν ἐξίστασθαι, ἢ τὸ μαίνεσθαι.

## Περὶ αἰολίδος.

Οἱ δὲ αἰολεῖς τὸ. β. τῷ. ρ. προσνέμουσιν, ὅταν τῷ. ρ. ἐπιφέρηται. κ. ἢ. τ. ἢ. δ. βρυτὴρ ἀντὶ τοῦ ῥυτήρ. βράκος ἀντὶ τοῦ ῥάκος. βρόδον ἀντὶ τοῦ ῥόδον. τὰς ἀπὸ τῶν εἰς. αι. θηλειῶν γενικὰς διαιροῦσιν οἱ αἰολεῖς καὶ διὰ τοῦ αων. προφέρουσιν. νύμφαι, νυμφάων. παρθενικαί, παρθενικάων. αἱ κατὰ τὸ μέσον συγκοπαὶ τῶν αἰολέων εἰσίν. οἷον ὦρσεν ἀντὶ τοῦ ὥρμησεν. ὦλλος ὁ ἄλλος τοῦλλο τὸ ἄλλο.

Τὸ ποῖον κοῖον λέγουσι. τεθνηκὼς, καὶ τεθνηῶια, ἀντὶ τοῦ τεθνηκώς.

Αἱ προσθέσεις τῆς θα. συλλαβῆς τῶν αἰολέων εἰσίν. οἷον ἔπηθα. Τὰ εἰς. αις. μονοσύλλαβα ὀνόματα διαιροῦσι. παῖς, πάϊς. δαῖς, δάϊς. Τῷ. ω. στοιχείῳ ἀντὶ τοῦ ου. χρῶνται. μῶσαι, μοῦσαι. λείπωσα, λείπουσαν. Τῷ υ. ἀντὶ τοῦ. ο. χρῶνται. τὸ ὄνομα, ὄνυμα. καὶ τὸ ὅμοιον, ὕμοιον λέγοντες. ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ. ε. πρὸς σὲ, πρὲς σέ. καὶ ἀντὶ τοῦ ω μεγάλου. ὄσσα, ὤσσα.

Τῷ η. ἀντὶ τῆς. ει. διφθόγγου χρῶνται. ἐλθῆν γὰρ λέγουσι, καὶ λαβῆν διὰ τοῦ. η. ἀντὶ τοῦ ἐλθεῖν, καὶ λαβεῖν. ὅσα διὰ τῆς. ει. διφθόγγου παρ᾽ ἡμῖν λέγεται, διὰ μόνου τοῦ. ε. προφέρουσι πολυπλασιάζοντες τὰ ἀμετάβολα. ἱμείρων, ἱμέρρων. ὠτειλάς, ὠτελλάς. εἵματα, ἔμματα. ὑμεῖς, ὔμμες. διπλασιάζουσι δὲ καὶ τὸ. σ. καὶ τὸ π. καὶ τὸ. τ. τοσοῦτον. ὄπῃ, ὄππως. ὅττι τὴν ὀσμὴν, ὀδμὴν λέγουσιν. Τὸ ἱερὸν, ἱρόν. τὰς γενικὰς εἰς εὐθείας μετάγοντες ὁ μάρτυρος κλίνουσι τοῦ μαρτύρου. καὶ ὁ φύλακος τοῦ φυλάκου.

Τῷ. π. ἀντὶ τοῦ. μ χρῶνται ὄππατα ἀντὶ τοῦ ὄμματα λέγοντες, καὶ πετ᾽ ἐμοῦ. ἀντὶ τοῦ μετ᾽ ἐμοῦ. Τὰς κλητικὰς τῶν εἰς. ων. ληγόντων ἑνικῶν συστέλλουσιν. χελιδὼν, χελιδόν. ἀηδὼν, ἀηδόν. σαρπηδὼν, σαρπηδόν.

Τῶν. αι. διφθόγγων τὸ. ι. ἐκβάλλουσιν ὅταν αὐταῖς μὴ σύμφωνον ἐπιφέρηται. οἷον ἀλκαῖος, ἀλκάος. καὶ ἀρχαῖος, ἀρχάος.

Τὸ εἷμα γραφόμενον διὰ τῆς. ει. διφθόγγου, ἔμμα λέγουσι. καὶ τὴν ὀδύνην, ἐδύνην. καὶ τοὺς ὀδόντας, ἐδόντας. Τὸ μίλητος διὰ τοῦ. η. γραφόμενον διὰ τοῦ. α. ἐκφέρουσι μίλατος λέγοντες. πλανηθέντες δὲ κατά τινα προφορὰν λέγουσι ζυγὸν, σδυγόν. καὶ τὸ ξίφος, σκίφος. καὶ τὸ ψέλλιον, σπέλλιον. καὶ τὴν ψαλίδα, σπαλίδα.

Τὸ θόας, θόαις λέγουσι. καὶ τὸ μέλας, μέλαις. καὶ τὸ τάλας, τάλαις. τὸ δὲ αἴας, αἴαις οὐ

famos lustra.& furere. animo excedere,uel insanire.

## De æolica lingua.

Aeoles.β.ρ.τῷ.ρ.attribuunt,cum τῷ.ρ.infertur.κ.uel.τ.uel.δ.habena, p habena.uestis lacera,stis.ra.rosa, pro rosa.genitiuos a rectis. in.αι.diuidunt æoles,& per αων.proferunt.nymphæ,nympharũ.uirgineæ uirginearũ.In medio concisiones æolensium sunt,ut concitauit,pro impetum fecit.alius,alius.aliud,aliud.

Quale,quale dicũt.mortuus,& mortua,pro mortuus.

Additiones.θα.syllabæ æolensium sunt,ut dicas.In.αις.unius syllabæ nomina diuidũt.puer,puer.cõuiuium conuiuiũ.ω.litera pro.ου.utuntur. musæ,musæ.relinquens,relinquens. υ.pro.ο.utuntur.nomen,nomen.& simile,simile dicentes.interdum autem & pro.ε.ad te,ad te.& pro ω.magno.ossa,ossa.

Η pro.ει.diphthongo utuntur.uenisse enim aiunt,& accepisse.per.η.pro uenire,& accipere.Quæcunq; per ει.diphthongum apud nos dicunť,p solũ ε.proferunt multiplicantes imutabiles.desyderãs,desyderãs.uulnera, uulnera.uestes,es.uos,uos. geminant &.σ.&.π. &.τ.tantum.ubi.ut quod. odorem,odorem dicunt. sacrũ,sacrũ.genitiuos in noîatiuos transferentes.testis dicunt,testis.& custos,custodis.

π.pro.μ.utuntur oculi, pro oculi dicentes.& mecum, pro mecum.uocatiuos in.ων.desinentium singularium corripiũt. hyrundo,hyrundo.luscinia,luscinia.Sarpedon,sarpedon.

Ex.αι.diphthongis.ι.abiiciunt, cum eas non consonans sequitur.ut Alcæus,Alcæus.& antiquus, antiquus.

Indumẽtũ scriptũ per.ει.diphthõgum indumẽtũ dicũt.& dolorẽ,dolorẽ.& dentes,dentes.miletus per η.scriptum per.α.proferunt.milatus dicentes.errantes autem per quandam pronunciationem dicũt Iugũ,gũ.& ensem,sem.& armillã,armillam. & forficem,forficem.

Thoas,thoas dicũt.& niger,niger. & miser,miser.Aiax,autem aiax non

λέγουσι

λέγουσι διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων καὶ τῆς. αι. διφθόγγου. διότι ἔμελλε κακόφωνος εἶναι. καὶ διὰ τί ἐν τοῖς εἰς ας. τοῖς ἔχουσι τὸ. α. μακρὸν προστιθέασι τὸ. ι. ὡς ἐν τῷ θόας καὶ τοῖς λοιποῖς. καὶ ἔστιν εἰπεῖν. ὅτι θέσει χαίρουσιν, ἅμα δὲ καὶ ταῖς τῶν βραχυτέρων συλλαβαῖς. τὸ πηλεὺς, παλεὺς λέγουσι. καὶ τὸ φθείρω, φθέῤῥω. ἡ γὰρ θέσει μακρὰ ἐλάττων ἐστὶ τῆς φύσει μακρᾶς. ἐπεὶ καὶ τὸ. α. τὸ φύσει μακρὸν μεῖζόν ἐστι τῆς. αι. διφθόγγου τῆς ἐχούσης τὸ. ι. ἐκφωνούμενον. ὁ γὰρ ποιῶν ἔργον δύο στρατιωτῶν ἰσχυρότερός ἐστιν ἐκείνων. Οἱ αὐτοὶ πολλάκις εἰς. α. ποιοῦσι τὰς εὐθείας. ἀρχύτα γὰρ λέγουσιν ἀντὶ τοῦ ἀρχύτης. ὁ ὑβραγόρα ἀντὶ τοῦ ὁ ὑβραγόρας. γέρων ἱππηλάτα πηλεὺς ἀντὶ τοῦ ὁ ἱππηλάτης παῤῥομήρῳ μὲν ἱππότα νέστωρ.

Τὰ εὐκτικὰ τοῦ πρώτου ἀορίστου ἐνεργητικοῦ διὰ τοῦ. εια. προφέρουσιν. οἷον τύψαιμι, τύψεια. ποιήσαιμι, ποιήσεια. καὶ τῷ μὲν πρώτῳ προσώπῳ οὗτοι μόνοι κέχρηνται. τῷ δὲ δευτέρῳ καὶ τρίτῳ οἱ ἀθηναῖοι. οἷον τύψειας, τύψειε. τύψειαν τὸ τρίτον τῶν πληθυντικῶν. Τούτων εἰσὶ καὶ αἱ διαιρέσεις ἀντὶ γὰρ τοῦ ἀργεῖοι ἀργέϊοι λέγουσιν. καὶ αἱ συναιρέσεις τῶν αὐτῶν, βασιλέϊ, βασιλεῖ. οὗτοι τρέπουσι τὴν. ει. εἰς. οι δίφθογγον ὡς ὄνειρος, ὄνοιρος.

Τοῖς δυϊκοῖς ἀριθμοῖς οὗτοι κέχρηνται οὐδαμῶς, καθὰ δὴ καὶ οἱ ῥωμαῖοι τούτων ὄντες ἄποικοι.

Οὗτοι ταῖς εἰς. ω. ληγούσαις δοτικαῖς οὐ προσγράφουσι τὸ. ι. ὡς τῷ ὁμήρω καὶ τῷ σοφῷ. Αρεος τὸ. ος. διὰ τοῦ ο μικροῦ κλίνουσιν.

Αἱ διαιρέσεις τοῦ. ι. οὐ μόνον αἰολέων ἐστὶν ἀλλὰ καὶ ἀττικῶν, καὶ δωριέων. ἀντὶ γὰρ ἑταίρων, ἑτάρων λέγουσιν. Οὗτοι πάντα τὰ σύμφωνα διπλασιάζουσιν ἐπὶ τῶν βραχέων ὡς τὸ ἔννεπε, καὶ τὸ ἔννη, καὶ τὰ ὅμοια. Τὸ τρωσὶ, καὶ γυναιξὶ κοινῶν, οὗτοι τρώεσσι καὶ γυναίκεσσι γράφουσι. καὶ τὰ παραπλήσια τούτοις.

Τὰς εἰς. ου. ληγούσας γενικὰς διὰ τοῦ. ευ. ἐκφέρουσιν. αἰακίδαο γὰρ ἰωνικῶς καὶ αἰακίδεω ἀττικῶς. αἰακίδευ δὲ οἱ αἰολεῖς γράφουσιν. τὸ ἀνεκφώνητον. ι. ἐκφωνεῖν εἰώθασιν ἐπὶ δευτέρου, καὶ τρίτου προσώπου. οἷον βοᾷς, βοάϊς. γελᾷ, γελάϊ. ἀντὶ δὲ τοῦ. ξ. κσ. προφέρουσι. ξένος, κσένος. καὶ ἀντὶ τοῦ. ψ. πσ. πέλοψ, πέλοπς. ἀντὶ δὲ τοῦ η. τὸ. ε. ἢ τὸ. α. κοινῶς τοῖς δωριεῦσι.

Καὶ τὸ η. τὸ μὲν εἰς. ε. τρέπουσιν ὡς τὸ ἄρης ἄρες. Τὸ δὲ εἰς. α. ὡς τὸ ἑκάβην, ἑκάβαν. πύλην, πύλαν. νόημα, νόαμα. ἠὼς, ἀώς. ἀπάτην, ἀπάταν. Αδικῆσαι, ἀδικέσαι. Αν-

dicunt propter concursum uocalium. & .αι. diphthongi. quoniam male sonabat. Et quare in .ας. habentibus .a. longum addunt .ι. ut in Thoas, & reliquis? & est dicẽdũ, q̃d productione gaudeant, simul & breuiorum syllabis, Peleus, paleus dicunt. currumpo, corrumpo. nã positione longa minor est natura longa. quoniam & .α. natura longum maius est .αι. diphthongo habente .ι. q̃d pnũciatˀ. nã faciẽs operam duorũ militum, fortior est illis. iidem sæpe in .α. faciunt rectos. Archyta enim dicunt, pro archytes. hybragora, pro hybragora. senex equorum agitator Peleus pro eques, apud homerũ quidem eques nestor.

Optatiua primi Indefiniti actiui per .εια. proferunt, ut uerberem, uerberem. faciam, faciam. & prima persona hi soli utuntur. secunda, & tertia athenienses, ut uerberes, uerberet. uerberent tertia pluralis. Horum sunt & diuisiones. nam pro argiui, argiui dicunt. & contractiones eorundem. regi, regi. hi uertunt .ει. in .οι. diphthongum ut somnium, um.

Dualibus numeris hi utuntur minime, quẽadmodũ & romani, q̃ ex his sunt deducti.

Hi in .ω. desinentib. datiuis non adscribunt .ι. ut homero. & sapienti. martis .ος. per o paruum flectunt.

Extractiones .ι. non solũ æolẽsium sunt, sed & atticorum, & doriensium. nam pro sociis, sociis dicunt. hi omneis consonantes geminant in breuibus. ut dic, & uetus, & huiusmodi. Troianis, & mulierib. comune hi troianis, & mulieribus scribunt, & his similia.

In .ου. desinentes genitiuos per .ευ. proferunt. æacidæ enim Ionice, & æacidæ attice. æacidæ autem æolenses scribũt. quod non pnunciatˀ .ι. pnunciare consueuerunt, in secunda, & tertia persona. ut clamas, clamas. ridet, ridet. pro .ξ. κσ. proferunt. hospes, hospes. & pro .ψ. πσ. pelops, pelops. & pro .η. ε. uel .α. quod cõmune est etiã doriẽsibus.

Et. r. tum in .ε. uertunt, ut mars, mars. tum in .α. ut hecubam, hecubam. portam, portam. cogitationẽ, tionẽ auror ã, rã. deceptionẽ, tionẽ iniuria afficere, iniu. affic.

τὶ δὲ τοῦ. θ. τὸ. φ. θλᾶται, φλᾶται. Ἀντὶ δὲ τῶν δύο. ππ. δύο. σσ. ἐμπίππειν, ἐμπίσσειν. Ἀντὶ δὲ τοῦ. σ. τὸ. τ. σύ, τύ. εἰς σὲ εἰς τέ. Ἀντὶ δὲ τοῦ. τ. τὸ. π. στολὴν, σπολὴν. σταλείς, σπαλείς.

Ἀντὶ δὲ τοῦ. ω. μεγάλου τὸ. ο. μικρόν. ὥρα, ὄρα. ὠτειλή, ὀτειλή. συγκόπτουσι δὲ καὶ τὰ σύνθετα τῶν ὀνομάτων διπλασιάζοντες τὰ ἄφωνα, ὡς τὸ κάππεσεν, ἀντὶ τοῦ κατέπεσεν. καὶ κὰδ δὲ ἀντὶ τοῦ κατὰ δέ, καὶ κάββαλεν, ἀντὶ τοῦ κατέβαλεν.

Βαρυτονοῦσι δὲ οὐ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ τὰ ἄρθρα, ὅταν ὀνομάτων τάξιν ἐπέχωσιν, ὁσὸς, ὅσος. ἡ σή, ἥση. τὸ σὸν, τόσον.

Ὡσαύτως δὲ καὶ τὰ δισύλλαβα ὀξυτόνως παρ' ἡμῖν λεγόμενα αὐτοὶ βαρυτονοῦσι σόφος, κάλος, ὄξυς, βράδυς, βάρυς, λεῦκος, βῶμος, θῦμος, τράχης, σκλῆρος, χῶλος, καὶ καὶ τὰ ὅμοια.

Τὴν δὲ εἰς. ες. κλητικὴν τῶν εἰς. ης. ὀνομάτων δίχα τοῦ. σ. προφέρουσι. Σώκρατες, Σώκρατε. Ἀριστόφανες, Ἀριστόφανε. Δημόσθενες, Δημόσθενε. καὶ τῶν γενικῶν δὲ πτώσεων τὸ. σ. ἀφαιροῦσι.

Σωκράτου, Διομήδου, Σοφοκλέου λέγοντες Ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν παραλαμβάνουσιν ἐν τοῖς πληθυντικοῖς τοῖς ἀνθρώποις ἀντὶ τοῦ τοὺς ἀνθρώπους. τοῦτο δὲ ποιοῦσι διὰ τὸ χρῆσθαι αὐτοὺς τὸ. ι. ἀντὶ τοῦ. υ. Τὴν δὲ αἰτιατικὴν τῶν πληθυντικῶν προφέρουσι τὸ. ως. ἀντὶ τοῦ. ους. λαμβάνοντες, τὼς ἀνθρώπως, τὼς ἵππως. Τὰ ἀπαρέμφατα ῥήματα τὰ εἰς ειν καταλήγοντα, αὐτοὶ διὰ τοῦ. ην. ἐκφέρουσι βαρυτονοῦντες, φιλεῖν, φίλην. καλεῖν, κάλην. φρονεῖν, φρόνην.

Τὰ δὲ παρ' ἡμῖν λήγοντα εἰς. αν. αὐτοὶ εἰς αις. μεταβάλλουσι. γελᾶν, γελαῖς. πεινᾶν, πειναῖς. Τὰ δὲ εἰς. ουν. καταλήγοντα ἀπαρέμφατα αὐτοὶ διὰ τοῦ. οις. ἐκφέρουσιν. ὑψοῦν, ὕψοις. ὀρθοῦν, ὄρθοις. χρυσοῦν, χρυσοῖς. Τὰ δὲ εἰς. ω. καταλήγοντα ῥήματα παρ' ἡμῖν, εἰς. μι. ποιοῦσιν. οἷον νοῶ, νόημι. φιλῶ, φίλημι. ὅσαι δὲ μετοχαὶ ὀξύτονοι εἰς. ως. καταλήγουσι: διὰ τοῦ ν. παρ' ἐκείνοις ἐκφέρονται, καὶ βαρυτονοῦνται. εἰρηκὼς, εἰρήκων. νενοηκὼς, νενοήκων. φυλάττουσι δὲ καὶ τὰς ἀπὸ τούτων κλίσεις ἀναλόγως τῇ καταλήξει. λέγεται δὲ παρ' αὐτοῖς ὁ ἔρως, ἔρος. καὶ ὁ γέλως, γέλος. καὶ κλίνουσιν αὐτὰ ὁμοίως τοῖς εἰς. ος λήγουσι κυρίοις ὀνόμασι. τὸ ἐγὼ περισπῶσιν ἐγῶν λέγοντες. καὶ ἐμοῦ, ἐμῶν. τὸ σὺ τὺ, ὁμοίως τοῖς δωριεῦσι λέγουσι. καὶ τὸ ἡμῖν, ἄμμιν. ἡμεῖς, ἄμμες. τὸ ἐνθάδε, τῇδε, τὸ ἄλλοσε, ἑτέροσε. τὰ χείρονα χέρρονα. τὸ ἐπαινῶ, αἴνημι.

pro. θ. φ. contunditur. Pro duobus. ππ. duo. σσ. incidere, incidere Pro. σ. τ. tu, in te in te. Pro. τ. π. stolam, stolam. missus, missus.

Pro. ω. magno o paruum. hora, hora. cicatrix, cicatrix. Concidunt & composita nomina, geminantes mutas, ut decidit, pro decidit. & secundũ autẽ, pro secundũ autem. & deiecit, pro deiecit.

Penultima acuta dicũt nõ solũ nomina sed & articulos, si nominum ordinem habeant. tuus, tuus. tua, tua. tuum, tuum.

Eodem aũt modo & disyllaba, quæ apud nos acuunt ultimã ipsi grauitonant, sapiẽs, pulcher, acutus, tardus, grauis, alb⁹, ara, animus, asper, durus, claudus, & similia.

In. ες. uocatiuum nominum in. ης. absq. σ. proferunt. Socrates, Socrate. Aristophanes, Aristophãe. Demosthenes, Demosthene. & a genitiuis casibus. σ. auferunt.

Socratis, Diomedis, Sophoclis dicentes pro accusatiuo datiuũ accipiunt in pluralibus hominibus, pro homines. hoc faciunt, quia utuntur. ι. pro. υ. Accusatiuum pluralium proferunt. ως. pro. ους. accipientes, homines, equos. Infinita uerba in ειν. desinentia, ipsi efferũt penultimã acuẽtes, amare, amare. uocare, uocare. sapere, sapere.

Quæ apud nos desinunt in. αν. ipsi in αις. transferunt. ridere, ridere. esurire, esurire. In. ουν. finientia infinita, ipsi per. οις. efferunt. exaltare, tare. corrigere, gere. inaurare, inaurare. In. ω. terminantia uerba apud nos in. μι. faciunt. ut intelligo, intelligo. amo, amo. Quæcunq; participia quæ ultimã acuũt, in. ως. terminant, per. ν. apud illos efferuntur, & acuunt penultimam. fatus, fatus. q intellexit, q intellexit. seruant autem & horum declinationes pportionabiliter desinentiæ. Dicitur apud eos amor, amor. risus, risus. & flectunt ea, quẽadmodũ quæ in. ος. desinunt propria nomina. Ego circunflectunt, ego dicentes, & mei, mei duo, Tu, tu, sicut Dores dicunt. & nobis, nobis. nos, nos. hic, hic. alio, alio. peiora, peiora. laudo, laudo.

Τὰ ἱμάτια,

Τὰ ἱμάτια, εἵματα. Ἡ μία, ἴα. Ἡ ψῆφος, ψάφαξ.

Τὸ ἔστρωται, ἱσόρηται. Οὗτοι μέσον δύο φωνηέντων τιθέασι τὸ υ. ἀὴρ γὰρ αὐὴρ λέγουσι. Καὶ ἕως, αὔως. Ὅτε δὲ σύμφωνόν ἐστι μεταξὺ οὐκ ἔτι. Καὶ ταῦτα μὲν περὶ τῶν διαλέκτων λέλεκταί μοι κατὰ τὸ δυνατόν. Ἴσως δὲ καὶ ἕτερά τις σκοπῶν ἀκριβῶς εὑρήσει διαφέροντα ταύταις.

Τέλος περὶ τῶν διαλέκτων.

Vestes, uestes. una, una. suffragium, suffragium.

Stratū ē, stratū ē. Hi in medio duaꝝ uocalium ponunt, v. aer enim aer dicunt. aurora, aurora. cū uero consonans est media, non etiam Et hæc de Dialectis dicta sunt mihi pro uiribus. forte & alia quispiam indagans accurate inuenit q̄ his sint anteponenda.

Finis de linguis.

## ΠΕΡΙ ΤΩΝ ΣΟΛΟΙΚΟΦΑΝΩΝ ΣΧΗΜΑΤΩΝ ΤΙΝΑ ΤΙΝΩΝ ΔΙΑΛΕΚΤΩΝ ΕΙΣΙΝ.

Εὐβοεῖς τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα. ὡς τὸ παρ' ὁμήρῳ, κλυτὸς ἱπποδάμεια. καὶ θερμὸς ἀϋτμή. καὶ αἰγὸς πολιοῖο. καὶ παρ' ἡσιόδῳ, δαιζομένου πόληος. ὁμοίως δὲ καὶ τοῖς οὐδετέροις ὀνόμασιν ἀρσενικὰ, καὶ θηλυκὰ ἐπίθετα, καὶ μετοχὰς ἀρσενικάς τε, καὶ θηλυκὰς ἐπιφέρουσιν οἷον εὐφυὴς παιδίον. καὶ χωρίον καλίστη. καὶ γύναιον ἐρχομένη. καὶ μειράκιον λέγων. καὶ ἡδὺν παιδίον βαδίζων. καὶ ὅμηρος. τέκνον φίλε τοῦτο δίδωμι.

ΚΟΡΙΝΘΙΟΙ τὸ ἵνα, καὶ τὸ ἄν, καὶ τὸ ὅπως οὐχ ὑποτακτικοῖς ῥήμασι συντάττουσιν, ἀλλ' ὁριστικοῖς, ἵνα μήτ' αὐτὸς ὤφθην πονηρὸς, μήτε σὺ φάνεις εὐδόκιμος. καὶ ὅμηρος. ἵνα εἴδομεν ἄμφω, καὶ μὴ ἴομεν δαναοῖσι μαχόμενος. καὶ ἵνα εἴδετε πάντες. ὁριστικοῖς γὰρ χρῶνται ἀντὶ ὑποτακτικῶν.

ΙΒΥΚΕΣ ἐναντία τοῖς κορινθίοις ποιοῦσιν οἷον ὑποτακτικοῖς ἀντὶ ὁριστικῶν χρώμενοι. ὡς τὸ λαμπρὸν παμφαίνῃ, ἀντὶ τοῦ παμφαίνει.

ΧΑΛΚΙΔΕΙΣ τὰ ὁριστικὰ τῶν ῥημάτων εἰς μετοχὴν, καὶ ὑπαρκτικὸν ἀναλύουσι ῥῆμα. οἷον σωκράτης ἀπολογούμενος ἐστὶ ἀντὶ τοῦ ἀπολογεῖται. καὶ ὅμηρος. αἰεί τοι ῥίγιστα θεοὶ τετληότες ἐσμέν.

ΑΛΚΜΑΝΕΣ μεταξὺ δύο ἑνικῶν ὀνομάτων πληθυντικὸν τιθέασι ῥῆμα. οἷον, πλάτων μὲν ἐπορεύθησαν καὶ ἀριστοτέλης. καὶ ὅμηρος. ἔνθα μὲν εἰς ἀχέροντα πυριφλεγέθων τε ῥέουσι, κώκυτός τε. καὶ πάλιν. εἰ δὲ κ' ἄρης ἄρχωσι μάχης, καὶ φοῖβος ἀπόλλων.

ΚΛΑΖΟΜΕΝΕΙΣ ἀντὶ τοῦ εἰπεῖν πορεύσομαι εἰς ἀγῶνα, πορεύσομαι σὺν ἀγῶνι φησίν. ὡς καὶ ἀντιφῶν σὺν παιδὶ βαίη. ἀντὶ τοῦ εἰς παῖδα πορευθείη.

ΚΟΛΟΦΩΝΙΟΙ τῇ δοτικῇ ἀντὶ γενικῆς χρῶνται. οἷον τὴν κεφαλὴν τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ἀνθρώπου. καὶ ὅμηρος νηὶ παρὰ πρύμνῃ. ἀντὶ τοῦ παρὰ τῇ πρύμνῃ τῆς νεός. καὶ αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινεν, ἀλλ' οὐκ ἀτρεΐδῃ ἀγαμέμνονι ἥνδανε θυμῷ. ἀντὶ τοῦ αἴαντος, καὶ ἀτρείδου.

ΣΙΚΕΛΟΙ καὶ οὗτοι ὁμοίως δοτικῇ χρῶνται ἀντὶ γενικῆς τῆς παρὰ προθέσεως ἔξωθεν λαμβανομένης. οἷον δέξαι ἱερείᾳ, ἀντὶ τοῦ παρὰ τῆς ἱερείας. καὶ ὅμηρος. θέμιδι δὲ καλλιπαρῄῳ δέξατο δέπας, ἀντὶ τοῦ παρὰ τῆς θέμιδος. καὶ δέξατο οἱ σκῆπτρον πατρῷον. ἀντὶ τοῦ παρ' αὐτοῦ.

ΝΗΣΙΩΤΑΙ δὲ τὸ ἀνάπαλιν γενικῇ ἀντὶ δοτικῆς χρῶνται. οἷον πλούσιος εἰμὶ χρυσοῦ. καὶ ὅμηρος, ἀφνειότερος χρυσοῖό τε, καὶ ἐσθῆτος. ἀντὶ τοῦ πλούσιος χρυσῷ, καὶ ἐσθῆτι.

ΟΙ ΕΡΙ τῆς ἀσιάδος ἕλληνες τὰ ῥήματα ἅπερ συντάσσονται δοτικαῖς πτώσεσιν, αἰτιατικαῖς συντάττουσι. φασὶ γὰρ συνήντησέ με, ἀντὶ τοῦ ἐμοί. καὶ ὅμηρος, καὶ γ' ἀχιλλεὺς τοιοῦτόν γε μάχῃ ἔνι κυδιανείρῃ ἔρριγεν ἀντιβολῆσαι, ἀντὶ τοῦ τούτῳ. Τῶν αὐτῶν δὲ ἐστὶ καὶ τὸ τὰ συνταττόμενα ῥήματα γενικαῖς πτώσεσιν αἰτιατικαῖς πάλιν συντάττειν, ὡς τὸ ἀφαιρεῖταί με τὴν γυναῖκα, ἀντὶ τοῦ ἐμοῦ. καὶ ὅμηρος. ἐπεὶ μ' ἀποείρετο κούρην. καὶ ἐπεί μ' ἀφέλεσθέ γε δόντες, ἀντὶ τοῦ ἐμοῦ ἀφείλετε.

ΤΡΩΕΣ αἰτιατικῇ χρῶνται ἀντὶ γενικῆς, οἷον, τὸν ἵππον ἀλέξανδρον, ἀντὶ τοῦ τὸν τοῦ ἀλεξάνδρου. καὶ ὅμηρος. γυναῖκα τιθήσατο μαζὸν, ἀντὶ τοῦ γυναικός. καὶ τρῳὰς δ' ἐς στίχας οὖλος ἄρης ὄρινε μετελθών, ἀντὶ τοῦ τῶν τρώων. καὶ ἕλληνα στρατὸν, ἀντὶ τοῦ τῶν ἑλλήνων. καὶ ἀδελφεὸν αἷμα. ἀντὶ τοῦ ἀδελφοῦ. ταῦτα δέ τινες ἀντὶ κτητικῶν φασίν. οἷον γυναικεῖον μαζόν, καὶ τρωϊκὰς στίχας, καὶ ἑλληνικὸν στρατὸν, καὶ ἀδελφικὸν αἷμα.

ΑΤΤΙΚΟΙ τῇ εὐθείᾳ ἀντὶ γενικῆς χρῶνται. οἷον δύο σκόπελοι ὁ μὲν εἰς οὐρανὸν ἱκάνει, ἀντὶ τοῦ δύο σκοπέλων. καὶ νεστορίδαι δ' ὁ μὲν οὔτασ' ἀτύμνιον. ἀντὶ τοῦ τῶν νεστορίδων. καὶ πάλιν ἐλθόντες δ' ἠβαιὸν ἀπὸ σπείο γλαφυροῖο πρῶτος ὑπ' ἀρνειοῦ ἐλυόμην, ἀντὶ τοῦ ἐλθόντων δὲ ἡμῶν.

Τῶν δ' αὐτῶν ἐστὶ καὶ τὸ ἀντὶ πλαγίων συντάξεων ὀρθαῖς χρῆσθαι, οἷον ἀλκιβιάδης φανεὶς ἀνέστρεψαν λακεδαίμονες, ἀντὶ τοῦ ἀλκιβιάδου ὀφθέντος. καὶ τὸ συντάσσειν τοῖς ὑποτακτικοῖς

μορίοις εὐκτικὰ ῥήματα. φασὶ γὰρ ἵνα θύσαιμεν. ἵνα ποιήσαιμεν, καὶ ὅμηρος, ἵνα μήθ' ἄλλοθεν αὖοι. ἵνα ἀθανάτοισι φανείνοι. Καὶ τὸ γνώντων. βοώντων. καὶ ποιούντων ἀντὶ τοῦ γνώτωσαν, καὶ βοάτωσαν, καὶ ποιείτωσαν. Καὶ τὸ μέμφομαι, καὶ ὀνειδίζω, καὶ ἐνοχλῶ, καὶ λοιδοροῦμαι δοτικῇ συντάσσουσι. Καὶ τὰ συντασσόμενα δὲ ῥήματα μετὰ δοτικῆς γενικῇ συντάσσουσι τὸ ἕνεκα προστιθέντες. καὶ μετὰ αἰτιατικῆς δὲ ταῦτα συντάσσουσιν. οἷον συνῴτησέ με ἀντὶ τοῦ ἐμοί, ὡς καὶ ἀριστοφάνης ὁ κωμικὸς ἀρκέσει με λέγων. Καὶ ἔτι τὰ μετὰ γενικῆς συντασσόμενα ῥήματα αἰτιατικῇ συντάσσουσιν. οἷον αὐτὸς με ἤρεζε, καὶ ἀφαιρεῖται με. ἀντὶ τοῦ ἐμοῦ. καὶ ὅμηρος. ἐπεί μ' ὀφέλεσθέ γε δόντες. Τῶν αὐτῶν δὲ καὶ τὸ δοτικῆς πτώσεως προηγησαμένης εἰς γενικὴν ἀποδιδόναι. φασὶ γὰρ οὐκ ἦν ἡμῖν συνέβη περ εὐσεβῶν ὄντων. καὶ ὅμηρος. ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ δεισάντων φθόγγον τε βαρὺν ἀντὶ τοῦ φοβηθεῖσι.

Δ ΩΡΙΕΙΣ ἀπεναντίας τοῖς ἀττικοῖς τὰ ῥήματα ταῦτα συντάσσουσι μέμφομαί σε λέγοντες. καὶ ὀνειδίζω σε. καὶ τὰ λοιπὰ ὁμοίως ἐπὶ τούτοις. σημείωσαι, ὅτι τὸ δοκεῖν σολοικίζειν τῶν ἀττικῶν ἐστί.

Χ ΑΛΚΙδεις οἱ ἐν εὐβοίᾳ τοῖς ῥήμασι τοῖς συντασσομένοις δοτικαῖς πτώσεσιν αἰτιατικὰς πρῶτον πτώσεις ἐπιφέρουσιν, εἶθ' οὕτως δοτικάς. ὡς διονύσιος ὁ χαλκιδεὺς περὶ μυρρίνης τῆς ἀμαζονίδος. τὴν μυρρίνην περιβλεψαμένην ἔδοξεν αὐτῇ τὰς ἄλλας ἀμαζόνας μετακαλέσασθαι. καὶ πάλιν ἐπορευόμενον εἰς κόρινθον, ἔδοξεν αὐτῇ, καὶ τὰ τοιαῦτα.

Π ΟΛΛΟΙ τῶν ἰώνων πλαγιάζουσι τὰς εὐθείας. ἀντὶ γὰρ τοῦ εἰπεῖν ἐξερχόμενος ἔδωκέ μοι, φασὶν ἐξερχομένου ἔδωκέ μοι.

Ι ΩΝΕΣ οἱ ἐπὶ κυρίας τὰ ἐπὶ χαρᾶς, καὶ λύπης δηλωτικὰ ῥήματα γενικῇ συντάσσουσιν ἀντὶ δοτικῆς. φασὶ γὰρ χαίρω τοῦ ἀνδρός. ἀντὶ τοῦ τῷ ἀνδρί. καὶ ὅμηρος ἀχνύμενός περ ἑταίρων.

Καὶ τῷ κυρίῳ καὶ τῷ προσηγορικῷ ὀνόματι ἄρθρα προστιθέασι. φασὶ γάρ, τὸν πλάτωνα τὸν φιλόσοφον. Προστιθέασι δὲ καὶ τὴν ἔχων μετοχὴν ἐν τοῖς ῥήμασι. φασὶ γὰρ παίζεις ἔχων. καὶ βαδίζεις ἔχων. ἀντὶ τοῦ παίζεις μόνον, καὶ βαδίζεις.

Ι ΩΝΩΝ δὲ ἅμα καὶ δωριέων ἐστὶ τὸ ἀντὶ προστακτικῶν ἀπαρεμφάτοις χρῆσθαι. φασὶ γὰρ δοῦναι τὸ βιβλίον, ἀντὶ τοῦ δός. Καὶ ὅμηρος. πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν. ἀντὶ τοῦ ἀγόρευε. οὐ μόνον δὲ ἐπὶ τῶν ἑνικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν πληθυντικῶν γράφειν λέγοντες, ἀντὶ τοῦ γράφετε. καὶ ὅμηρος. ὑμεῖς δ' ἄλλοθεν ἄλλος ὀρητύειν ἐπέεσσιν. ἀντὶ τοῦ κωλύετε. ἐξαιρέτως δὲ τῷ τοιούτῳ σχήματι ἡσίοδος κέχρηται.

Ο Ι ΕΝ πελοποννήσῳ δωριεῖς τῇ δοτικῇ χρῶνται ἀντὶ αἰτιατικῆς παρειλημμένης ἔξωθεν τῆς διὰ προθέσεως. φασὶ γὰρ τῇ δικαιοσύνῃ νενικήκαμεν, ἀντὶ τοῦ διὰ τὴν δικαιοσύνην. καὶ ὅμηρος. σοὶ πάντες μαχόμεθα, ἀντὶ τοῦ διὰ σέ.

ΟΙ ΕΠΙ ἰταλίας δωριεῖς κειμένων δύο ὀνομάτων κυρίου τε, καὶ προσηγορικοῦ τῷ μὲν κυρίῳ προστιθέασι τὸ ἄρθρον. τὸ δὲ προσηγορικὸν ἄναρθρον ἐκφέρουσι. φασὶ γὰρ τὸν πλάτωνα φιλόσοφον. καὶ ὅμηρος. οὕνεκα τὸν χρύσην ἠτίμησ' ἀρητῆρα.

ΚΥΜΑΙΟΙ τοῖς ἑνικοῖς ὀνόμασι πλησίον ἐπάγουσι ῥήματα. φασὶ γὰρ ἡ πύλη ἐκλείσθησαν. ὁ ἀγρὸς ἐσκάφησαν. ἡ βουλὴ συνῄεσαν. καὶ ὅμηρος. ὡς φάσαν ἡ πληθύς. συστηματικὰ γὰρ ὄντα ταῦτα πρὸς τὸ νοούμενον ἔχει τὴν ἀναφοράν.

ΘΗΒΑΙΟΙ τὸ ἀνάπαλιν τούτοις ποιοῦσι. τοῖς γὰρ πληθυντικοῖς ὀνόμασιν ἀρσενικοῖς τε, καὶ θηλυκοῖς ἐπιφέρουσι ῥήματα ἑνικά. φασὶ γὰρ λακεδαιμόνιοι πολεμεῖ ἀθήναις. Καὶ πίνδαρος. ἕπεται πλόκαμοι, ἀντὶ τοῦ ἕπονται. καὶ δίηγετο σάρκες, ἀντὶ τοῦ δίηγοντο, ὡς καὶ τό, τῆς δ' ἦν τρεῖς κεφαλαί. τούτου δὲ τοῦ σχήματος, καὶ τοῖς οὐδετέροις πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα. ὃ καὶ λέγεται ἑτεράριθμον. οἷον τὰ πρόβατα βόσκεται. Καὶ ὅμηρος. ἄστρα δὲ δὴ προβέβηκε. καὶ δὴ δοῦρα σέσηπε νεῶν. ἀλλὰ τὰ μὲν τοιαῦτα συνήθη γεγονέναι. τὰ δὲ προειρημένα κακόφωνα δοκοῦντα οὐκ ἦλθεν εἰς χρῆσιν.

ΑΡΓΟΛΙΚΟΝ σχῆμα ἐστὶ τὸ εὐθείᾳ χρῆσθαι, ἀντὶ αἰτιατικῆς τῶν ἑνικῶν. φασὶ γὰρ ἀλέξανδρον λέγεται ἐλθὼν εἰς πέρσας νικῆσαι. ἀντὶ τοῦ ἐλθόντα. καὶ ὅμηρος φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα κρονίωνα ἀστράπτων αἰνέσημα σήματα φέρων. ἰλιάδος. β. καὶ δ' ἀγλαΐηφι πεποιθὼς ῥίμφα ἑ γοῦνα φέρει. ἀντὶ τοῦ πεποιθότα.

ΠΕΡΙΗΓΗΤΙΚΟΝ ἐστὶ τὸ τῇ αἰτιατικῇ πληθυντικῇ πτώσει ἐπιφέρειν εὐθείας. οἷον ἐπλέομεν δύο πόλεις αἳ ἐκαλοῦντο σηστός, καὶ ἄβυδος. ἔδει γὰρ εἰπεῖν καλουμένας σηστόν, καὶ ἄβυδον. καὶ ὅμηρος ἄνδρ' ὁρόω κρατερὸν ἐπί σοι μεμαῶτε μάχεσθαι ἶν' ἀπέλεθρον ἔχοντας, ὁ μὲν τόξων εὖ εἰδώς, ἀντὶ τοῦ τὸν μὲν τόξων εὖ εἰδότα.

ΠΥΡΣΗΝΙΚΟΝ ἐστὶ τὸ τὰς δεούσας προτάττειν πράξεις ὑποτάττειν. φασὶ γὰρ περιπατήσας ἀνέστη, ἀντὶ τοῦ ἀναστὰς περιεπάτησε. Καὶ ὅμηρος, ὁ δὲ χασσάμενος πελεμίχθη. καί, ἥφεσε κάμε τεύχων.

ΛΕΣΒΙΟΙ, καὶ θετταλοὶ ἐπὶ τοῦ αὐτοῦ χρῶνται χρόνοις ἀκαταλλήλοις, ἐνεστῶτί τε καὶ παρακειμένῳ. φασὶ γὰρ ἡμεῖς μὲν πορευόμεθα. οὗτοι δὲ κεκαθίκασι. καὶ ὅμηρος σοί τ' ἐπείθοντο, καὶ δεδμημένοι ἕκαστος.

ΡΟΔΙΟΙ τὴν σύνταξιν τὴν ἐπάγουσαν αἰτιατικὴν πτῶσιν συντάττουσι δοτικῇ. φασὶ γάρ, κάλεσον τῷ ἀνθρώπῳ. ἀντὶ τοῦ τὸν ἄνθρωπον. οἱ αὐτοὶ δὲ χρῶνται καὶ ταῖς δοτικαῖς ἀντὶ εὐθειῶν. ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ ἀνὴρ παρεγένετο, τῷ ἀνδρὶ παρεγένετο λέγουσιν.

ΑΣΙΑΝΟΙ αἰτιατικῇ ἀντὶ εὐθείας χρῶνται. φασὶ γὰρ θέλεις ἀναστάντα κλείσω τὴν θύραν, ἀντὶ τοῦ ἀναστάς.

ΚΑΙ ταῦτα μὲν ἴδια τῶν διαλέκτων τούτων εἰσίν.

εἴπωμεν

εἴπωμεν δὲ καὶ περὶ τινῶν ἀναγκαίων σχημάτων, οἷς πᾶσαι αἱ διάλεκτοι χρῶνται τὰ προσήκοντα. ἐπεξήγησίς ἐστι ἀσαφοῦς λέξεως, ἢ λόγου σαφηνισμός. λέξεως μὲν, ὡς τὸ, λάβε τὸν ἀκινάκην, ὅ ἐστι περσικὸν ξιφίδιον. λόγου δὲ ὡς τὸ, ὁ οἶκος οὗτος βεβαίως οὐκ οἰκεῖται. λέγω δὲ ὡς οἱ μένοντες ἐν τούτῳ ταχέως μετέρχονται. Ἀπὸ κοινοῦ ἐστὶ λέξις ἅπαξ μὲν λεγομένη, πολλάκις δὲ νοουμένη, καὶ ἔξωθεν λαμβανομένη. οἷον ἀπελθὼν ᾔτησα τοὺς ἄνδρας, μάλιστα δὲ χαρίδημον, καὶ τὸν ἵππαρχον. καὶ ὅμηρος ἐλίσσετο πάντας ἀχαιοὺς ἀτρείδην δὲ μάλιστα. ἀπὸ κοινοῦ γὰρ, ἐστὶν ἐκείνου μὲν τὸ ᾔτησα. ἐνταῦθα τούτου δὲ τὸ ἐλίσσετο. Ἑτερογενὲς ἐστὶ μετάβασις ἀπὸ γένους εἰς γένος πρὸς τὸ νοούμενον. οἷον τὰ πολλὰ θάλασσαν φοβερὰ εἰσὶν ἐρημίαι οὖσαι. καὶ ὁ θεολόγος, παρ᾽ ἑαυτοῦ δὲ πονοῦν οὐδεὶς, ὁ δὲ νοερὰν ψυχὴν οἶδεν ὁ λόγος. Ἑτεροπρόσωπον ἐστὶν ὅταν ἕτερον πρόσωπον ὑποβάλλωμεν λέγον ἃ ἡμεῖς ἐμέλλομεν λέγειν. οἷον πάντες οἱ αἰγύπτιοι βοῶσι τὴν ἀδικίαν ἡμῶν. ἢ ὅταν αὐτοὶ μὲν λέγωμεν, πρὸς ἕτερον δὲ ἀποτεινόμεθα, καὶ οὐ πρὸς τὸν ἀδικήσοντα. οἷον, ἐγὼ δὲ ἰδὼν τινα βλάπτοντα τὸν πέλας, εἶπον πρὸς αὐτὸν ὡς ἀδικεῖς τὸν πέλας.

ΤΕΛΟΣ.

## Περὶ ἀνωμάλων ῥημάτων κατὰ στοιχεῖον ἀρχὴ τοῦ α.

α Ζω. ὅθεν ἀόριστος πρῶτος ἄσθην, καὶ ἀάσθην.

Αγαμαι. μέλλων, ἀγάσομαι. ἀόριστος πρῶτος. ἠγάσθην. μέσος ἀόριστος, ἠγασάμην.

Αγω. μέλλων, ἄξω. ἀόριστος δεύτερος, ἦγον. καὶ ἀττικῶς, ἤγαγον. παρακείμενος, ἦχα καὶ ἀττικῶς ἀγήοχα.

Αγορεύω. μέλλων, ἀγορεύσω. ἀόριστος, ἠγόρευσα. παρακείμενος, εἴρηκα. ἀπὸ τοῦ εἴρω.

Αδω. μέλλων, ᾄσω, ἀόριστος, ᾖσα.

Αἱροῦμαι. μέλλων, αἱρήσομαι. παρακείμενος, ᾕρημαι. ἀόριστος, ἡρέθην. μέσος ἀόριστος β. εἱλόμην, ἀπὸ τοῦ ἕλομαι.

Αἱρέω. ῶ. μέλλων, αἱρήσω.

Αἰσθάνομαι. μέλλων, αἰσθήσομαι. παρακείμενος, ᾔσθημαι. μέσος ἀόριστος, ᾐσθόμην, καὶ αἰσθέομαι, αἰσθοῦμαι.

Αμαρτάνω. παρατατικὸς, ἡμάρτανον. καὶ πλέον οὐ. μέλλων, ἁμαρτήσω. παρακείμενος, ἡμάρτηκα. ἀόριστος δεύτερος, ἥμαρτον, ἀπὸ τοῦ ἁμαρτέω, ἁμαρτῶ.

Ανοίγω. μέλλων, ἀνοίξω. ἀόριστος ἀνέωξα ἀττικῶς.

Απεχθάνομαι. μέλλων, ἀπεχθήσομαι. παρακείμενος, ἀπήχθημαι. μέσος ἀόριστος, ἀπεχθόμην, καὶ ἀπεχθέομαι οῦμαι.

Αὐξάνω, καὶ αὔξω. μέλλων, αὐξήσω. ὡς ἀπὸ τοῦ παλαιοῦ θέματος τοῦ αὐξέω, ῶ. ἀόριστος πρῶτος, ηὔξησα. καὶ αὐξάνω. παρατατικὸς ηὔξανον.

Αλόω, ῶ. ἀόριστος δεύτερος, ἅλον, ἀπὸ τοῦ ἅλω. Η μετοχὴ ὁ ἁλοὺς, τοῦ ἁλόντος.

Αμφιέννυμι, καὶ ἀμφιέννυμι. μέλλων, ἀμφιέσω.

Αναγινώσκω. παρατατικὸς, ἀνεγίνωσκον μόνον. μέλλων, ἀναγνώσομαι. παρακείμενος, ἀνέγνωκα. ἀόριστος δεύτερος, ἀνέγνων, ἀπὸ τοῦ ἀναγνῶμι, καὶ ἀναγνόω ἀναγνῶ.

## De anomalis uerbis, per ordinem literarum. Principiũ Alpha.

Sicco. unde aoriſtus primus ſiccatus fui, & ſiccatus fui.

Miror futurum mirabor. aoriſtus primus, miratus fui. medius aoriſtus miratus fui.

Ago. futur. agam aoriſtus ſecundus egi. & attice egi. Præteritum perfectum egi. & attice egi.

Dico. futurum dicam Aoriſtus dixi. Præteritum perfectum dixi a dico.

Cano. futurum canam. aoriſtus cecini.

Eligo. futurum eligam. præteritum perfectũ elegi. aoriſtus elegi. medius aoriſtus ſecundus, elegi ab eligo.

Capio. futurum capiam.

Sentio. futurum ſentiam. præteritum perfectum ſenſi. medius aoriſtus ſenſi. & ſentio ſentio.

Pecco. p̃teritum impfectũ peccabam & plus minime. futurum peccabo. præteritum perfectum peccaui. Aoriſtus ſecũdus peccaui, a pecco pecco.

Aperio. futurum aperiã aoriſtus aperui attice.

Odio ſum. futurum odio ero. Præteritũ perfectũ, odio fui. medius aoriſtus odio fui, & odio ſum, odio ſum.

Augeo, & augeo. Futurũ augebo, tanq̃ ab antiquo themate augeo augeo. aoriſtus primus. auxi. & augeo præteritum imperfectum augebam.

Capio, capio. aoriſtus ſecundus cepi a capio. participium, hic captus capti.

Induo, & induo. futurum induam.

Lego. præteritum imperfectum legebã ſolum. futurum legam. præteritum perfectum legi. Aoriſtus ſecundus. legi a lego, & lego lego.

Α ναζωννύω. μέλλων, ἀναζώσω.
Α νακράζω. μέλλων, ἀνακράξω. μέσος παρακείμενος, ἀνακέκραγα. ἀόριστος δεύτερος, ἀνακέκραγον.
Α ναπνέω. μέλλων, αναπνεύσω. ἀόριστος ἀνέπνευσα, ἀπὸ τοῦ ἀναπνεύω παλαιοῦ.
Α ναῤῥηγνύω, καὶ ἀναῤῥήγνυμι. Μέλλων, ἀναῤῥήξω. ἀπὸ τοῦ ἀναῤῥήκω.
Α νασπάω, ῶ. Μέλλων, ἀνασπάσω.
Α λίσκομαι. Μέλλων πρῶτος ληφθήσομαι, ἀπὸ τοῦ λήβομαι λήψομαι, ἐλήφθην. Αόριστος. β. ἕαλον, ἀπὸ τοῦ ἁλόω. ῶ.
Α πηναίνομαι. Αόριστος, ἀπηνηνάμην.
Α πόχρη. Μέλλων, ἀποχρήσει. ἀόριστος, ἀπέχρη
Α φίημι. Μέλλων, ἀφήσω. Αόριστος, ἀφῆκα (στε.
Α ντιστρέφω. Μέλλων, ἀντιστρέψω. Μέσος παρακείμενος, ἀντέστροφα.
Α ναπεταννύω, καὶ ἀναπετάννυμι. Μέλλων ἀναπετάσω, ἀπὸ τοῦ ἀναπετάω, ἀναπετῶ.
Α πέχω. Μέλλων, ἀφέξω. διότι τὸ ἔξω δασύνεται, τρέπεται τὸ. π. εἰς. φ. Παρακείμενος, ἀπέσχηκα. Αόριστος δεύτερος, ἀπέσχον, ἀπὸ τοῦ ἀποσχόω, ἀποσχῶ.
Α ποδράω. ῶ. Οθεν ἀόριστος πρῶτος, ἀπέδρα.
Αποδεικνύω, καὶ ἀποδείκνυμι. Μέλλων, ἀποδείξω. ἀπὸ τοῦ ἀποδείκω.
Α πολέω. ῶ. Μέλλων, ἀπολέσω. Παρακείμενος, ἀπώλεκα. καὶ ἀττικῶς, ἀπολώλεκα. καὶ ἀπόλλω, ἀπολῶ, ἀπῶλα. καὶ ἀττικῶς, ἀπόλωλα. καὶ ἀπολλύω, καὶ ἀπόλλυμι.
Α ποσβεννύω, καὶ ἀπόσβημι. Μέλλων, ἀποσβέσω. Αόριστος δεύτερος, ἀπέσβην
Α ποτέμνω. Μέλλων, ἀποτεμῶ, καὶ ἀποτμήσω. Αόριστος δεύτερος, ἀπέτεμον.
Α ποτανύω. Μέλλων, ἀποτάσω.
Α πανυράω. ῶ. Αόριστος, ἀπηῦρα.
Α ποσυφελίζω. Μέλλων, ἀποσυφελίξω. ξ
Α ποκλαίω. Μέλλων, ἀποκλαύσω, ἀπὸ τοῦ κλαύω παλαιοῦ.
Α ρέσκομαι. μέλλων ἀρέσομαι. καὶ τὸ ἀπρόσωπον, ἀρέσκει. Παρατατικὸς, ἤρεσκε.
Α τίζω. Μέλλων, ἀτίξω.
Α φικνοῦμαι. μέλλων, ἀφίξομαι. Παρακείμενος, ἀφῖγμαι. μέσος ἀόριστος ἀφικόμην.
Α φίπταμαι. ἀόριστος, ἀπέπτην. Μέσος ἀόριστος, ἀπεπτάμην.
Α χθομαι. Μέλλων, ἀχθήσομαι. Αόριστος πρῶτος, ἠχθέσθην.

Αρχὴ τοῦ. β.

Β άλλω. Μέλλων, βαλῶ. Αόριστος, ἔβαλον.
Γ αρακείμενος, βέβληκα. ἀπὸ τοῦ βλῶ, βλήσω.
Β λαστάνω, καὶ βλαστέω. ῶ. Αόριστος ἔβλαστον.
Β όω. ῶ. Μέλλων, βώσω.
Β ούλομαι. μέλλων, βουλήσομαι. Παρακείμενος, βεβούλημαι. ἐβεβουλήμην. ἐβουλήθην.

Αρχὴ τοῦ. γ.

Γ αμέω. ῶ. μέλλων, γαμήσω. Αόριστος

Moueo castra, futurum mouebo castra.
Exclamo. futurum exclamabo. mediū præteritum pfectū, exclamauit. aoristus secundus exclamaui.
Respiro. futurum respirabo. aoristus respiraui a respiro antiquo.
Rescindo, & rescindo. futurum rescindam a rescindo.
Euello. futurum euellam
Capior. futurum primum capiar a capior. Capiar, captus fui. Aoristus secūdus captus fui, a capio, capio.
Renuo aoristus renui.
Sufficit futurum sufficit. aoristus suffecit.
Dimitto futurum dimittā. aoristus dimisi.
Conuerto. futurum conuertā. Mediū præteritum perfectum conuerti.
Explico, & explico. futurum explicabo, ab explico, explico.
Recipio. futurum recipiam. qm̄ habebo aspirat, mutatur pi in phi. pteritum perfectum recepi. aoristus secundus recepi a recipio recipio.
Aufugio. aufugio, un̄ aoristus prim⁹ aufugi.
Ostendo, & ostendo. futurum, ostendam ab ostendo.
Perdo, perdo. futurum perdā. præteritum perfectum perdidi. & attice perdidi. & perd, operdam perdidi & attice perdidi. & perdo. & perdo.
Extinguo, & extinguo. futurum extinguam. Aoristus secundus extinxi.
Abscindo. futurum abscindam, & abscindam. Aoristus secundus abscidi.
Extendo. futurum extendam.
Fruor. futurum fruar.
Amoueo. futurum amouebo.
Deploro. futurum deplorabo a ploro Antiquo.
Cōcilio. futurum conciliabo. & impersonale placet. Præteritū īpfectū placebat.
Inhonoro. futurum inhonorabo.
Peruenio. futurum perueniā. præteritum pfectū pueni. Medius aoristus pueni.
Euolo. aoristus euolaui. Medius aoristus euolaui.
Tristor. futurum tristabor. aoristus primus tristatus sum.

Principium Vita.

Mitto. futurum mittā. Aoristus misi. Præteritū pfectum misi. a mitto mittā.
Germino & germino aorist⁹ germinaui.
Clamo. futurum clamabo.
Volo. futurum uolam. Præteritum perfectum uolui. uolueram. uolui.

Principium Gamma.

Duco Vxorē. futurum ducā uxorē. aoristus
πρῶτος,

πρῶτος, ἔγημα.

Γ είνομαι. μέλλων, γενοῦμαι. μέσος ἀόριστος πρῶτος, ἐγεινάμην.

Γ ήθω. μέλλων, γήσω. μέσος παρακείμενος, γέγηθα. καὶ γηθέω. ῶ. γηθήσω.

Γ ηράσκω, καὶ γηράω. ῶ. μέλλων, γηράσω.

Γ ρηγορέω. ῶ. μέλλων, γρηγορήσω. Μέσος παρακείμενος, ἐγρήγορα. Υπερσυντέλικος, ἐγρηγόρειν.

Γ ίνομαι, καὶ γίγνομαι. μέλλων, γενήσομαι, ἀπὸ τοῦ γενάομαι, ῶμαι. Παρακείμενος, γεγένημαι. μέσος ἀόριστος πρῶτος ἐγενησάμην. μέσος ἀόριστος δεύτερος ἐγενόμην. μέσος παρακείμενος, γέγονα ἀπὸ τοῦ γείνω, γενῶ.

Γ ινώσκω, ἐγίνωσκον. καὶ πλέον οὔ. μέλλων γνώσομαι. Παρακείμενος, ἔγνωκα. ἀόριστος δεύτερος ἔγνων, ἀπὸ τοῦ γνόω, ῶ. καὶ γνῶμι.

Αρχὴ τοῦ. δ.

Δ αΐζω. μέλλων, δαΐξω. καὶ δαΐω, δαΐσω. δαΐζομαι.

Δ άκνω, ἔδακνον. μέλλων δήξω. ἀόριστος δεύτερος, ἔδακον, ἀπὸ τοῦ δήκω.

Δ αμάζω. μέλλων, δαμάσω.

Δ αίω. μέλλων, δαήσω. ἀόριστος, ἔδαην.

Δ εῖ. μέλλων, δεήσει. ἀόριστος, ἐδέησε.

Δ εῖ. Παρατατικὸς, ἔδει. ἀπαρέμφατον δεῖν.

Δ είδω. μέλλων, δείσω. Παρακείμενος, δέδοικα. Υπερσυντέλικος, ἐδεδοίκειν. μέσος παρακείμενος, δέδια. μέσος ὑπερσυντέλικος, ἐδεδίειν.

Δ έω. μέλλων, δέσω, καὶ δήσω.

Δ έομαι. μέλλων, δεήσομαι. Παρακείμενος, δεδέημαι, ἀπὸ τοῦ δεδέομαι. οῦμαι.

Δ έχομαι. μέλλων, δέξομαι. Παρακείμενος δέδεγμαι. μέσος ἀόριστος πρῶτος, ἐδεξάμην.

Δ έδια, ἀπὸ τοῦ δαίω. μέσος παρακείμενος.

Δ ιαζωννύω, καὶ διαζώννυμι. μέλλων, διαζώσω, ἀπὸ τοῦ διαζόω, διαζῶ.

Δ ιαλαγχάνω. ἀόριστος δεύτερος, διέλαχον, ἀπὸ τοῦ διαλήχω.

Δ ιδάσκω, ἐδίδασκον, καὶ πλέον οὔ. μέλλων, διδάξω, ἀπὸ τοῦ διδάχω. ἀόριστος πρῶτος ἐδίδαξα.

Δ ιδράσκω, καὶ διαδιδράσκω. ἀόριστος. α. διέδρα, καὶ ἀπέδρα.

Δ ιαφθείρω. μέλλων, διαφθερῶ. Μέσος παρακείμενος, διέφθορα.

Δ οκέω. ῶ. μέλλων, δόξω, ἀπὸ τοῦ δόκω. ἀόριστος πρῶτος, ἔδοξα. τὸ δὲ δεδόκηκα ἀπὸ τοῦ δοκέω, δοκῶ.

Δ ράω. ῶ. μέλλων, δράσω. Παρακείμενος δέδρακα. ἀόριστος πρῶτος, ἔδρασα.

Δ ύω, καὶ δύω, καὶ δύμι. Μέλλων, δύσω.

primus, duxi uxorem.

Gigno. Futu℞ gignam. medius aoristus primus genui.

Lætor Futu℞ lætabor. mediũ p̃teritũ perfectum lætatus sum. & lætor. bor.

Senesco, & senesco. futurum senescam.

Vigilo. Futurum uigilabo. mediũ p̃teritũ pfectũ uigilaui. Præteritum plusq̃perfectum uigilaueram.

Fio & fio futurum fiam. a fio. Præteritum perfectum factus sum. medius aoristus primus, feci. medius aoristus secundus factus sum. mediũ p̃teritũ pfectum factus sum. a gigno gignam.

Cognosco. cognoscebã & plᵘ minime. futurum cognoscam. Ptm̃ perfectũ, cognoui. Aoristus secundus cognoui, a cognosco. cognosco, & cognosco.

Principium Delta.

Diuido. futurũ diuidam. & Scio sciam. Inquiro.

Mordeo, mordebã. Futu. mordebo. aoristus secundus, momordi. a mordeo.

Domo. futurum domabo.

Scio. futurum sciam. Aoristus sciui.

Oportet. futurũ oportebit. aorist⁹ oportuit.

Oportet ptm̃ ĩpfe. oportebat. Infinitum oportere.

Timeo. futu℞ timebo. Præteritũ pfe. timui. Præteritũ plusq̃perfectũ timueram. Mediũ p̃teritũ pfe. timui. mediũ præteritum plusq̃perfectum timueram.

Ligo. futurum ligabo & ligabo.

Rogo. futurũ rogabo. Præteritũ perfectum rogaui a rogo rogo.

Suscipio. futu℞ suscipiã. Præteritũ pfe. suscepi. medius aoristus primus suscepi.

Cõbussi, a cõburo. mediũ ptm̃ perfectũ.

Discingo, & discingo. futurum discingam a discingo, discingo.

Sortior. aoristus secundus sortitus sum, a sortior.

Doceo, docebam, & plus nequaquã. Futurum docebo a docebo. Aoristus primus docui.

Aufugio. & aufugio. aoristus primus aufugi, & aufugi.

Corrũpo, futu℞ corrũpã. mediũ p̃teritum perfectum corrupi.

Existio, existimo, futu℞ existiabo ab existimo, existimo. aoristus. i. existiaui. Sed existiaui

Facio, facio. futu℞ faciam. Præteritum perfectum feci. aoristus primus feci.

Subeo, & subeo, & subeo. futu℞ subibo.

ἀόριστος δεύτερος ἔδυν, ἀπὸ τοῦ δῦμι.

Ἀρχὴ τοῦ. ε.

Ε άω. ῶ. μέλλων ἐάσω. ἀόριστος πρῶτος, εἴασα.

Ε δραμον, ἀπὸ τοῦ τρέχω, δραμοῦμαι. ἀόριστος δεύτερος, ἔδραμον, ἀπὸ τοῦ δρέμω,

Ε γκαλέω. ῶ. μέλλων, ἐγκαλέσω. παρακείμενος, ἐγκέκληκα.

Ε γείρω. μέλλων, ἐγερῶ. ἀόριστος πρῶτος, ἤγειρα.

Ε γχέω. μέλλων, ἐγχεύσω, ἀπὸ τοῦ ἐγχεύω. ἀόριστος πρῶτος, ἐνέχεα, καὶ ἐνέχευα αἰολικῶς.

Ε ἴδω. μέλλων, εἴσω. μέσος παρακείμενος οἶδα. ὑπερσυντέλικος, ᾔδειν. ὤφειλε δὲ εἶναι εἴδειν. τρέπεται δὲ τὸ. ε. εἰς. η. καὶ τὸ. ι. ὑπογράφεται.

Ε ἶπα ἀόριστος πρῶτος. καὶ εἶπον ἀόριστος. β. ἀπὸ τοῦ ἔπω ἀχρήστου.

Ε ἰσπλέω. μέλλων, εἰσπλεύσω. ἀπὸ τοῦ πλεύω.

Ε λεύθω. μέλλων, ἐλεύσομαι. μέσος παρακείμενος, ἤλυθα, καὶ ἀττικῶς, ἐλήλυθα. ἀόριστος. β. ἤλυθον, καὶ ἦλθον, ἦλθες, ἦλθε.

Ε ρομαι. μέλλων, ἐρήσομαι. μέσος ἀόριστος ἠρόμην.

Ε ζω. μέλλων, ἕσω ἀόριστος πρῶτος, εἷσα.

Ε κκαίω, καὶ ἐκκάω ἀττικῶς. μέλλων, ἐκκαύσω.

Ε λω, ὅθεν ἀόριστος δεύτερος εἷλον.

Ε μμορα μέσος παρακείμενος ἀπὸ τοῦ μορέω ῶ. μέμορα, καὶ ἔμμορα. ἢ ἀπὸ τοῦ μείρω μερῶ, μέμορα, καὶ ἔμμορα.

Ε μπίπτω. μέλλων, ἐμπεσοῦμαι. παρακείμενος, ἐμπέπτωκα. ἀόριστος δεύτερος, ἐνέπεσον.

Ε μπίπρημι. μέλλων, ἐμπρήσω.

Ε μπάζω. μέλλων, ἐμπάξω.

Ε ολπα, ἀπὸ τοῦ ἔλπω. μέσος παρακείμενος ἦλπα, καὶ ἔολπα.

Ε παινέω. ῶ. μέλλων. ἐπαινέσω. παρακείμενος, ἐπῄνεκα. ἀόριστος ἐπῄνεσα.

Ε ἴρω. μέλλων, ἐρῶ. παρακείμενος, εἴρηκα.

Ε ὑρίσκω. μέλλων, εὑρήσω. παρακείμενος, εὕρηκα. ἀόριστος δεύτερος, εὗρον, ἀπὸ τοῦ εὑρέω, εὑρῶ.

Ε ἴω. μέλλων, εἴσω. παρακείμενος, εἶκα. μέσος παρακείμενος, εἶα. ὑπερσυντέλικος ᾔειν.

Ε χω. μέλλων, ἕξω. παρακείμενος, ἔσχηκα. ἀόριστος. β. ἔσχον, ἀπὸ τοῦ σχέω. ῶ. καὶ τὸ μὲν ἔχω ψιλοῦται. τὸ δὲ ἕξω δασύνεται, εἰς διαφορὰν τοῦ ἔξω ἐπιρρήματος ψιλουμένου.

Ἀρχὴ τοῦ. ζ.

Ζ εύγνυμι, καὶ ζευγνύω. μέλλων, ζεύξω, ἀπὸ τοῦ ζεύγω.

Ζ ωννύω, καὶ ζώννυμι. μέλλων, ζώσω.

Ἀρχὴ τοῦ. η.

Η ειν ὑπερσυντέλικος, ἤεις, ἤει, ἀπὸ τοῦ εἴω.

Η καχεν, ἀπὸ τοῦ ἄχω.

aoriſtus ſecundus. a ſubeo.

Principium. e.

Sino, ſino, futu℞ ſiná, aoriſtus prim⁹ ſiui.

Cucurri a curro, curram. aoriſtus ſecundus, cucurri a curro.

Crimior, crimior. futu℞ criminabor. pͥteritum perfectum criminatus ſum.

Erigo. futu℞ erigam. Aoriſtus primus erexi.

Infundo. futu℞ infundam, ab infundo. aoriſtus primus, infudi, & infudi. æolice.

Scio. futu℞ ſciá. mediũ præteritũ perfe. ſciui. ptm̃ pluſq̃perfe. ſciuerá. debebat át eſſe ſciueram. uertitur auté e in ita, & iota ſubſcribitur.

Dixi aoriſt⁹ prim⁹. & dixi aoriſt⁹ ſecũdus a dico non in uſu.

Annauigo. futurum annauigabo a nauigo.

Venio, futurum ueniam. medium præteritum perfectum ueni, & attice ueni. aoriſtus ſecũdus ueni, & ueni, uẽiſti uenit.

Interrogo. futu℞ interrogabo. medi⁹ aoriſtus interrogaui.

Sedeo. futurum ſedebo. aoriſtus. i. ſedi.

Exuro, & exuro attice. futurum exurá.

Teneo unde aoriſtus ſecundus tenui.

Sortitus ſum mediũ ptm̃ pſe. a ſortior ſortior, ſortitus ſum, & ſortit⁹ ſũ. uel a ſortior, ſortiar, ſortitus ſũ, & ſortitus ſum.

Incido. futu℞ incidá. Præteritũ perfectum incidi. aoriſtus ſecundus incidi.

Incendo. futurum incendam.

Curo. futurum curabo.

Speraui. a ſpero. mediũ ptm̃ perfectum ſperaui, & ſperaui.

Laudo. futu℞ laudabo. Præteritũ pfectum, laudaui. aoriſtus laudaui.

Dico. futu℞ dicá. pͥteritũ pfectum dixi.

Inuenio. futu℞ inueniam. ptm̃ pfe. inueni. aoriſtus ſecundus, inueni ab inuenio, inuenio.

Vado. futu℞ uadá. ptm̃ pfectũ, iui. medium ptm̃ pfectum iui. ptm̃ pluſq̃perfectũ iueram.

Habeo. futu℞ habebo. Ptm̃ pfe. habui. aoriſtus. ii. habui. ab habeo, beo. & quidem habeo attenuat. ſed habeo aſpirat ad differentiam extra aduerbii attenuati.

Principium zeta.

Iungo, & iungo. futurum iungam a iungo.

Cingo, & cingo. futurum cingam.

Principium ita.

Iuerá, ptm̃ pluſq̃perfectũ, iueras, iuerat

Triſtauit a triſto. (ab eo.

Η μύω.

Η μύω. Μέλλων, ἠμήσω.

Αρχὴ τοῦ. θ.

Θ άπτω. Μέλλων, θάψω. ἀόριστος, ἔθαψα.

Θ έλω. μέλλων, θελήσω. ἀόριστος, ἐθέλησα. καὶ ἐθέλω, ἐθελήσω. ἀόριστος ἠθέλησα.

Θ νήσκω, ἔθνησκον. Μέλλων, θανοῦμαι. Παρακείμενος, τέθνηκα. Αόριστος. β. ἔθανον. Εὐκτικὸν, τεθναίην. Απαρέμφατον τεθνᾶναι.

Αρχὴ τοῦ. ι.

Ι κνοῦμαι. Μέλλων, ἵξομαι. ἀόριστος δεύτερος ἱκόμην. Παρακείμενος ἷγμαι, ἀπὸ τοῦ ἵκομαι.

Ι λάσκομαι. μέλλων, ἱλάσομαι. μέσος ἀόριστος. α. ἱλασάμην.

Ι πταμαι. μέσος ἀόριστος πρῶτος, ἱπτάμην, ἵπτω, ἵπτατο.

Ι δον ἀόριστος δεύτερος ποιητικὸς, ἀπὸ τοῦ εἴδω, καὶ ἀπὸ τοῦ εἴδω, εἶδον καθαρός.

Αρχὴ τοῦ. κ.

Κ αίω, καὶ κάω μέλλων, καύσω.

Κ αθέζω, καθέζομαι. μέλλων, καθεδοῦμαι.

Κ άθημαι. μέλλων, καθήσομαι.

Κ αθαιρέω, καθαιρῶ. ἀόριστος δεύτερος, καθεῖλον, ἀπὸ τοῦ καθέλω.

Κ αθαίρω. ἀόριστος δεύτερος, ἐκάθηρα.

Κ αθίημι. ἀόριστος πρῶτος, καθῆκα.

Κ λάγγω. μέλλων, κλάγξω. ἀόριστος πρῶτος ἔκλαγξα. Παρακείμενος κέκληγα.

Κ άμνω, καὶ κάμω. Αόριστος δεύτερος, ἔκαμον. παρακείμενος, κέκμηκα, ἀπὸ τοῦ κμῶ. μέλλων, κμήσω.

Κ είρω. μέλλων, κερῶ. Αόριστος πρῶτος, ἔκειρα. Παρακείμενος, κέκαρκα.

Κ ορέω κορῶ, καὶ κορέννυμι, καὶ κορεννύω. Μέλλων, κορέσω.

Κ ράζω. Μέλλων, κράξω. Παρακείμενος μέσος, κέκραγα.

Αόριστος δεύτερος, ἔκραγον.

Κ ρεμάζω, καὶ κρεμάω, κρεμῶ, καὶ κρέμαμαι. Μέλλων, κρεμάσω.

Κ ρυβεὶς, καὶ ἐκρύβην, ἀπὸ τοῦ κρύπτομαι, ἢ κρύβομαι παλαιοῦ.

Αρχὴ τοῦ. λ.

Λ αγχάνω. μέλλων, κληρώσομαι, ἀπὸ τοῦ κληρόω. ῶ. ἀόριστος δεύτερος, ἔλαχον. μέσος παρακείμενος, λέλογχα, ἀπὸ τοῦ λήχω. μέλλων, λήξω. ἀόριστος δεύτερος ἔλαχον.

Λ αμβάνω, ἐλάμβανον. μέλλων, λήψομαι, ἀπὸ τοῦ λήβω. ὅθεν ἀόριστος δεύτερος, ἔλαβον. Παρακείμενος, λέλειφα. καὶ ἀττικῶς, εἴληφα. ὁ ὑπερσυντέλικος, εἰλήφειν.

Λ ανθάνω, ἐλάνθανον. Μέλλων, λήσομαι, ἀπὸ τοῦ λήθω. μέσος παρακείμενος, λέληθα. ἀόριστος δεύτερος, ἔλαθον. Παρακείμενος λέλησμαι. μέσος ἀόριστος δεύτερος, ἐλαθόμην.

Λ είπω. Μέλλων, λείψω. ἀόριστος

Inclino. futurum inclinabo.

Principium thita.

Sepelio. futurum sepeliã. aoristus sepeliui.

Volo. futurum uolam. aoristus uolui, & uolo uolam. aoristus uolui.

Morior. moriebar. futurum moriar. præteritũ pfe. mortuus sũ. aoristus. ii. mortuus sũ. Optatiuum moriar infinitũ mori.

Principium iota.

Peruenio. futurum pueniã aorist⁹ secũdus perueni. præteritum perfectum perueni, a peruenio.

Placo. futurum placabo. Medius aoristus primus placaui.

Volo. medius aoristus primus uolaui, uolauisti, uolauit.

Vidi. aoristus secundus poeticus a uideo, & a uideo uidi purus.

Principium cappa.

Incendo, & incendo. futurũ incendam.

Sedeo, & sedeo. futurum sedebo.

Sedeo. futurum sedebo.

Subuerto, subuerto. aoristus. ii. subuerti a subuerto.

Purgo. aoristus secundus purgaui.

Demitto. aoristus primus demisi.

Clango. futurum clangam. aoristus primus clanxi. Præteritum perfectum clanxi.

Laboro, & laboro. aoristus. ii. laboraui. p̃teritum perfectum laboraui, a laboro. Futurum laborabo.

Tõdeo. Futurũ tõdebo. aoristus. i. totondi. præteritum perfectum totondi.

Satio satio, satio, & satio. Futurum satiabo.

Clamo. Futurũ clamabo, ptm̃ pfe. medium Clamaui.

Aoristus secundus clamaui.

Suspẽdo, & suspẽdo, suspẽdo, & suspẽdo. Futurum suspendam.

Ascõditus sũ, & abscõdit⁹ fui, ab abscõdor, uel ab abscondor antiquo.

Principium lamoda.

Sortior. futurum sortiar, a sortior sortior. Aoristus secũdus sortit⁹ sũ. mediũ p̃teritum perfectũ sortitus sum, a sortior. futurum sortiar. Aoristus secundus sortitus sum.

Capio, capiebam. futurum capiam, a capio. unde aoristus secundus cepi. Præteritum perfectum cepi. & attice cepi. Præteritũ plusq̃perfectũ ceperam.

Lateo latebam. Futurum latebo, a lateo. mediũ præteritum perfectũ latui. Aoristus secũdus latui. Præteritũ pfectũ abscõditus sum. medius aorist⁹ secũdus latui.

Reliquo. futurum relinquã. aoristus

πρῶτος, ἔλειψα. ἀόριστος δεύτερος, ἔλιπον.

Ἀρχὴ τοῦ. μ.

Μαίνομαι. μέσος παρακείμενος, μέμηνα.

Μανθάνω, ἐμάνθανον. μέλλων, μαθήσομαι, ἀπὸ τοῦ μαθέω, μαθῶ. παρακείμενος μεμάθηκα. ἀόριστος δεύτερος ἔμαθον, ἀπὸ τοῦ μήθω.

Μάχομαι. μέλλων, μαχέσομαι, ἀπὸ τοῦ μαχέομαι. μέσος ἀόριστος πρῶτος, ἐμαχεσάμην.

Μείρω, μέσος παρακείμενος, μέμορα, καὶ ἔμμορα.

Μέλω. μέλλων, μελήσω, ἀπὸ τοῦ μέλει. παρακείμενος ἔμελε. μέλλων, μελήσει.

Μέμνημαι, ἀπὸ τοῦ μνάομαι. ὑπερσυντέλικος ἐμεμνήμην. ἀόριστος πρῶτος, ἐμνήσθην. μέλλων πρῶτος μνησθήσομαι.

Μένω. μέλλων, μενῶ. ἀόριστος πρῶτος, ἔμεινα. παρακείμενος, μεμένηκα.

Μέμηλα μέσος παρακείμενος, ἀπὸ τοῦ μέλω. μέμαα μέσος παρακείμενος, ἀπὸ τοῦ μάω. ῶ. μιγνύω, καὶ μίγνυμι. μέλλων, μίξω. μοργνύω. μέλλων μόρξω.

Ἀρχὴ τοῦ. ν.

Νέω. μέλλων, νεύσω.

Νέμω. παρακείμενος, νενέμηκα. ἀόριστος. ἀνέιμα.

Ἀρχὴ τοῦ. ξ.

Ξυνίημι. μέλλων, ξυνήσω. ἀόριστος, ξυνῆκα, καὶ ξυνέηκα.

Ἀρχὴ τοῦ. ο.

Οζω. μέλλων, ὄσω. Μέσος παρακείμενος, ὦδα. καὶ ἀττικῶς, ὄδωδα.

Οἴχομαι. μέλλων, οἰχήσομαι. μέσος ἀόριστος ᾠχόμην.

Οἴομαι, καὶ κράσει οἶμαι. οἴει, οἴεται. μέλλων οἰήσεται. ἀόριστος πρῶτος, ᾠήθην.

Οἶδα ἀπὸ τοῦ εἴδω, μέσος παρακείμενος.

Οἰμώζω. μέλλων, οἰμώζω. ἀόριστος πρῶτος ᾤμωξα.

Ὀμνύω, καὶ ὄμνυμι, καὶ ὀμόω. ῶ. μέλλων. ὀμόσω, καὶ ὀμοῦμαι. παρακείμενος, ὀμώμοκα, καὶ ἀττικῶς, ὀμώμοκα.

Ὀλολύζω. μέλλων, ὀλολύξω.

Ὀμόργνυμι. μέλλων, ὀμόρξω.

Ὀνόω, ῶ. μέλλων, ὀνόσω.

Ὀφείλω μέλλων, ὀφειλήσω. καὶ ὄφλω, ὀφλήσω. παρακείμενος, ὤφληκα. ἀόριστος ὤφλησα.

Ὄπτομαι. μέλλων, ὄψομαι. ἀόριστος πρῶτος, ὤφθην.

Ὁράω, ῶ. παρατατικὸς, ἑώραον. ων, ἀττικῶς. παρακείμενος, ἑώρακα. ὑπερσυντέλικος ἑωράκειν.

Ἀρχὴ τοῦ. π.

Παρίημι. παρατατικὸς, παρίουν.

Πάρειμι, πάρει, πάρεστι.

Πάσχω, ἔπασχον. μέλλων, πείσομαι. ἀπὸ τοῦ πείθω. παρακείμενος, πέπονθα. ἀόριστος

primus reliqui. Aoriſtus ſecundus reliqui.

Principium Mi.

Inſanio. Mediũ ptm̃ pfectũ inſaniui.

Diſco. diſcebam. futurum diſcam, a diſco, diſco. præteritum perfectum didici. Aoriſtus ſecundus didici, a diſco.

Pugno. Futurum pugnabo, a pugno. Medius aoriſtus primus pugnaui.

Partior. mediũ ptm̃ pfe. ptit⁹ ſũ, & ptitus ſum.

Curo. futurũ curabo a curæ eſt. pteritũ pfectũ. curæ fuit. futurũ curæ erit.

Recordor, a recordor. Ptm̃ pluſq̃pfectũ memineram. Aoriſtus primus memini. Futurum primum, recordabor.

Maneo. futurũ manebo. Aoriſtus. i. mãſi. Præteritum perfectum manſi.

Curaui. mediũ præteritũ pfectũ, a curo.

Prõpt⁹ fui. Mediũ ptm̃ pfe. a prõpt⁹ ſũ.

Miſceo, & miſceo. Futurum miſcebo.

Abſtergo. futurum abſtergam,

Principium. Ni.

Nuo futurum nuam.

Paſco. Ptm̃ perfe. paui. Aoriſtus primus, paui.

Principium. Xi.

Intelligo. futurũ ĩtelligã. Aoriſt⁹ intellexi, & intellexi.

Principium. o.

Oleo. futurũ olebo. Mediũ ptm̃ pfectũ olui. & attice olui.

Eo. futurum ibo. Medium indefinitũ iui.

Puto, & craſi puto, putas, putat. futurũ putabit. Aoriſtus primus putaui.

Scio a ſcio. Mediũ præteritũ perfectũ.

Lamentor. futurũ lamẽtabor. aoriſtus. i. lamentatus ſum.

Iuro, & iuro, & iuro iuro. futurum iurabo, & iurabo. Præteritũ pfectum iuraui, & attice iuraui.

Vlulo. futurum ululabo.

Abſtergo. futurum abſtergam.

Inquino. futurum inquinabo.

Debeo. futurum debebo. & debeo debebo. ptm̃ pfectũ debui. Aoriſtus debui.

Video. futurum uidebo. aoriſtus primus uidi.

Video uideo. ptm̃ pfe. uidebã. bã. attice. ptm̃ pfe. uidi. præteritum pluſq̃perfectũ, uideram.

Principium. Pi.

Prætereo. ptm̃ imperfectũ præteribam,

Adſum ades adeſt.

Patior, patiebar. futurum, patiar a patior. ptm̃ pfectum paſſus ſum. Aoriſtus

δεύτερος

δεύτερος, ἔπαθον, ἀπὸ τοῦ πήθω.
Π έμπω. μέλλων, πέμψω. παρακείμενος, πέπομφα. ἀόριστος πρῶτος, ἔπεμψα.
Π ετανύω. μέλλων, πετάσω. παρακείμενος, πέπτακα.
Π έττω, καὶ πέσσω, καὶ πέπτω ποιητικῶς. μέλλων, πέψω.
Π άομαι. ῶμαι. μέλλων, πάσομαι. παρακείμενος, πέπαμαι.
Π είρω. μέλλων, περῶ. ἀόριστος πρῶτος, ἔπειρα.
Π έφρικα, ἀπὸ τοῦ φρίττω. μέλλων, φρίξω. παρακείμενος ἡμαρτημένος, πέφρικα.
Π ηγνύω, καὶ πήγνυμι. μέλλων, πήξω. ἀόριστος ἐπάγην, ἀπὸ τοῦ πήγω.
Π ίνω, ἔπινον. μέλλων, πώσω. παρακείμενος πέπωκα. ἀόριστος δεύτερος, ἔπιον.
Π ίπτω. μέλλων, πεσοῦμαι. παρακείμενος, πέπτωκα. ἀόριστος δεύτερος, ἔπεσον.
Π ίπρημι. μέλλων, πρήσω.
Π λάττω, ασω. μέλλων, πλάσω. ἀόριστος πρῶτος, ἔπλασα.
Π λέω. μέλλων, πλεύσω, ἀπὸ τοῦ πλεύω. οὕτω καὶ πνέω. μέλλων, πνεύσω.
Π ράττω, τὸ πωλῶ. μέλλων, πράσω. παρακείμενος, πέπρακα.
Π ρόκειμαι. προηκάμην μέσος ἀόριστος πρῶτος.
Π ετάω. ῶ. μέλλων, πετάσω.
Π ροστρέχω. μέλλων, προσδραμοῦμαι. ἀόριστος δεύτερος, προσέδραμον. ἀπὸ τοῦ προσδρέμω.
Π έρθω. ἀόριστος δεύτερος, ἔπραθον.
Π τάω, ῶ. μέσος ἀόριστος πρῶτος, ἐπτάμην.
Π τήσσω. μέλλων, πτήξω.
Π υνθάνομαι. μέλλων, πεύσομαι, ἀπὸ τοῦ πεύθομαι. παρακείμενος, πέπυσμαι. ἀόριστος. β. ἐπυθόμην.

Ἀρχὴ τοῦ. ρ.

Ρ έζω. μέλλων, ῥέξω.
Ρ ηγνύω, καὶ ῥήγνυμι. μέλλων, ῥήξω.
Ρ ωννύω, καὶ ῥώννυμι. μέλλων, ῥώσω.
Ρ ωννύομαι. μέλλων, ῥώσομαι. παρακείμενος ἔρρωμαι, ἔρρωσαι, ἔρρωται. προστακτικόν, ἔρρωσο. ἐρρώσθω. ἔρρωσθε. ἐρρώσθωσαν.

Ἀρχὴ τοῦ. σ.

Σ βεννύω. μέλλω, σβέσω, καὶ σβήσομαι. ἀόριστος δεύτερος. ἔσβην, ἀπὸ τοῦ σβῆμι.
Σ εύομαι. ἀόριστος πρῶτος, ἐσύθην. ἀόριστος δεύτερος, ἔσσυα.
Σ ήπομαι. μέλλων, σήψομαι. ἀόριστος, ἐσάπην.
Σ πένδω. μέλλων, σπείσω. ἀόριστος πρῶτος ἔσπεισα.
Σ τάζω, καὶ σταλάζω. μέλλων, στάξω.
Σ τένω, καὶ στενάζω. μέλλων, στενάξω.
Σ τίζω. μέλλων, στίξω.
Σ τορέννυμι. μέλλων, στορέσω. ἀόριστος πρῶτος ἐστόρεσα.
Σ τρωννύω. μέλλων, στρώσω. ἀόριστος πρῶτος,

secundus passus sum a patior.
Mitto futurum mittam. Ptm perfectum misi. Indefinitum primum misi.
Extendo futurum extendam. Præteritum pfe. extendi.
Digero, & digero, & digero poetice. futurum digeram.
Acquiro. acquiro. futurum acquiram. ptm perfectum acquisiui.
Penetro. futurum penetrabo. Aoristus. i. penetraui.
Horrui ab horreo futurum horrebo. pteritum pfectum qui peccauit horrui.
Figo, & figo, futurum figam. Aoristus fixi, a figo.
Bibo bibebam. futurum bibam. ptm pfectum bibi. aoristus secundus bibi.
Cado. futurum cadam. præteritum perfectum cecidi. Aoristus secundus cecidi.
Incendo. futurum incendam.
Fingo, fingo. futurum fingam. Aoristus primus. Finxi.
Nauigo. futurum nauigabo a nauigo. sic & spiro, futurum spirabo.
Vendo, quod uendo. futurum uendam. ptm perfectum uendidi.
Præmitto. pmisi, medius aoristus primus.
Extendo. futurum extendam.
Accurro. futurum accurram. Aoristus secundus accurri ab accurro.
Populor. Aoristus secundus populatus sum.
Volo uolo. medius aoristus primus uolaui.
Timeo. futurum timebo.
Interrogo. futurum interrogabo, ab interrogo. ptm pfectum interrogaui. aoristus secundus interrogaui.

Principium Rho.

Facio. futurum faciam.
Rumpo. & rumpo. futurum rumpam.
Roboro, & roboro. futurum roborabo.
Valeo. futurum ualebo. pteritum perfectum ualui, ualuisti, ualuit. Imperatiuum, uale, ualeat, ualete ualeto.

Principium Sigma.

Extinguo. futurum extinguam & extinguam. Aoristus secundus extinxi ab extinguo.
Cōcitor. aoristus. i. cōcitatus sum. aoristus secundus concitaui.
Putresco. futurum putrescam. aoristus putrui.
Libo. futurum libabo. aoristus primus libaui.
Stillo, & stillo. futurum stillabo.
Gemo, & gemo. futurum gemam.
Signo. futurum signabo.
Sterno. futurum sternam. aoristus primus straui.
Sterno. futurum sternam. Aoristus primus

ἔτρωσα.

Σ υγκεραννύω. Μέλλων, συγκεράσω. Παρακείμενος, συγκέκρακα.

Σ υμβαίνω. Μέλλων, συμβήσομαι. Παρακείμενος, συμβέβηκα. ἀόριστος δεύτερος, συνέβην.

Σ χέω. ῶ. Μέλλων, σχήσω. ἀόριστος δεύτερος ἔσχον. ὅθεν τὸ προστακτικὸν, σχὼς, σχώτω.

Αρχὴ τοῦ. τ.

Π αρακείμενος τέθνηκα, καὶ τέθνακα, ἀπὸ τοῦ θνήσκω.

Τ έμνω. μέλλων, τμήσω. ἀόριστος δεύτερος, ἔταμον.

Τ εύχω. ἀόριστος δεύτερος, ἔτυχον.

Τ άζω. μέλλων, τάξω. ἀόριστος δεύτερος, ἔταγον. ὅθεν ὀπαγών.

Τ ήκω: μέλλων, τήξω. παρακείμενος, τέθηκα.

Τ ίκτω μέλλων, τέξω. ἀόριστος δεύτερος, ἔτεκον.

Τ ιτρώσκω, ἐτίτρωσκον. μέλλων, τρώσω. ἀόριστος πρῶτος, ἔτρωσα. Παρακείμενος, τέτρωκα, ἀπὸ τοῦ τρόω. ῶ.

Τ ίνω, καὶ τίω. μέλλων, τίσω.

Τ λάω. ῶ. μέλλων, τλήσω. ἀόριστος. β. ἔτλην, ἀπὸ τοῦ τλῆμι.

Τ ρέφω Μέλλων, θρέψω. ἀόριστος πρῶτος, ἔθρεψα. μέσος παρακείμενος, τέτροφα.

Τ ρέω. Μέλλων, τρέσω.

Τ υγχάνω, ἐτύγχανον. μέλλων, τεύξομαι. ἀπὸ τοῦ τεύχω. Παρακείμενος, τετύχηκα. ἀπὸ τοῦ τυχέω. ῶ. ἀόριστος. β. ἔτυχον.

Αρχὴ τοῦ. υ.

Υ πέχω. μέλλων, ὑφέξω. Παρακείμενος, ὑπέσχηκα. ἀόριστος δεύτερος, ὑπέσχον.

Υ πισχνοῦμαι. Μέλλων, ὑποσχήσομαι. Παρακείμενος, ὑπέσχημαι. μέσος ἀόριστος δεύτερος, ὑπεσχόμην.

Υ ποδύω. μέλλων, ὑποδύσω. ἀόριστος ὑπέδυν, ἀπὸ τοῦ ὑποδύμι.

Υ ποτείσκω. μέλλων, ὑποτείσω.

Υ πνόττω. μέλλων, ὑπνώσω.

Ὕ ει. μέλλων, ὕσει. ἀόριστος πρῶτος ὕσεν.

Αρχὴ τοῦ. φ.

Φ άσκω. παρατατικὸς, ἔφασκον, καὶ πλέον οὔ.

Φ εύγω. μέλλων, φεύξουμαι. μέσος παρακείμενος πέφευγα. ἀόριστος δεύτερος, ἔφυγον.

Φ έρω. μέλλων, οἴσω. ἀπὸ τοῦ οἴω. Παρακείμενος ἐνήνοχα. ἀόριστος πρῶτος, ἤνεγκα. ἀόριστος δεύτερος ἤνεγκον, ἀπὸ τοῦ ἐνέγκω.

Φ ημί. φής. φησί. φατόν, φατόν. φαμέν. φατέ, φασί. μέλλων, φήσω. ἀόριστος πρῶτος ἔφησα. ἀόριστος δεύτερος, ἔφην. ἀπαρέμφατον, φάναι.

Φ θάνω, ἔφθανον. μέλλων, φθάσω. ἀπὸ τοῦ φθάω, ῶ. Παρακείμενος, ἔφθακα. ἀόριστος πρῶτος, ἔφθασα. ἀόριστος δεύτερος ἔφθην. ἀπὸ τοῦ φθῆμι. ἡ μετοχὴ, ὁ φθάς.

φθείρω.

ſtraui.

Miſceo.futurum,Miſcebo.præteritum perfectum miſcui.

Contingo.futurum contingã.præteritũ perfectum contigi. Aoriſtus ſecundus,contigi.

Cohibeo.futurũ cohibebo.aoriſtus.ii. cohibui. Vnde impatiuũ,cohibe,cohibeto.

Principium Taf.

Ptm̃ pfe. Mortuus ſum,& Mortuus ſũ a morior.

Seco.futurum ſecabo. Aoriſtus ſecũdus ſecui.

Fabrico. Aoriſtus ſecundus fabricaui.

Extẽdo futuꝝ extendã. Aoriſtus.ii.extẽdi. Vnde hic extendens.

Liq̃facio.futuꝝ liq̃faciã. ptm̃ pf.liq̃feci.

Pario futurum pariã. Aoriſtus ſecundus peperi.

Vulnero uulnerabã. futurũ uulnerabo aoriſtus primus uulneraui.ptm̃ pfectũ uulneratus ſum a uulnero uulnero.

Soluo & ſoluo.futurum ſoluam.

Tolero tolero,futuꝝ tolerabo.aoriſtus a tolero. (ii.toleraui.

Nutrio.futurũ nutriã. aoriſtus primus nutriui.mediũ præteritũ pfectũ nutriui.

Timeo.futurum timebo.

Sum, eram.futurum ero a fabrico.præteritum perfectum fui a conſequor conſequor.aoriſtus.ii.fui.

Principium y.

Suſtineo.futurũ ſuſtinebo.ptm̃ pfectũ ſuſtinui. Aoriſtus ſecundus ſuſtinui.

Promitto.futurum promittam.Præteritũ pfectũ pmiſi.medius aoriſtus ſecũdus,promiſi.

Subeo.futurum ſubibo.aoriſtus ſubii a ſubeo.

Priuo.futurum priuabo.

Dormito.futurum.dormitabo.

Pluit.futuꝝ pluet.aoriſtus primꝰ pluit.

Principium phi.

Dico.ptm̃ ĩpfectũ,dicebã.& amplius nõ.

Fugio. futuꝝ fugiam. Mediũ ptm̃ pfectũ fugi.aoriſtus ſecundus fugi.

Fero.futurũ.feram a fero. præteritum perfectum tuli.aoriſtus primus tuli.

Aoriſtus ſecundus tuli,a fero.

Dico.cis.cit. dicitis duo.dicũt duo. dicimus. citis dicunt.aoriſtus primus dixi. aoriſtus ſecundus,dixi. Infinitum, dicere.

Præuenio præueniebã futurũ p̃ueniã a præuenio.Ptm̃ pfectũ præueni. aoriſtus primus præueni.aoriſtus ſecũdus p̃ueni a præuenio.participium hic præueniens.

φθείρω.

Φθείρω. μέλλων, φθερῶ. παρακείμενος, ἔφθαρκα. μέσος παρακείμενος, ἔφθορα.

Φθίνω. μέλλων, φθίσω.

Φοινίκω, καὶ φοινίζω. μέλλων, φοινίζω.

Φύω. μέλλων, φύσω. παρακείμενος, πέφυκα. ἀόριστος δεύτερος, ἔφυν, ἀπὸ τοῦ φῦμι.

Ἀρχὴ τοῦ. χ.

Χαίρω. μέλλων, χαρήσομαι. ἀόριστος, ἐχάρην.

Χαλεπαίνω. μέλλων, χαλεπανῶ, ἀόριστος ἐχαλέπηνα.

Χέω. μέλλων χεύσω, ἀπὸ τοῦ χεύω. ἀόριστος (ἔχεα.

Χρωννύω. μέλλων, χρώσω.

Ἀρχὴ τοῦ. ψ.

Ψάλλω. μέλλων, ψαλῶ. παρακείμενος, ἔψαλκα. ἀόριστος πρῶτος, ἔψηλα.

Ἀρχὴ τοῦ. ω.

Ὤθω, καὶ ὠθέω. ὦ. μέλλων, ὤσω, καὶ ὠθήσω.

Ὠνέομαι, οῦμαι. μέλλων, ὠνήσομαι. παρακείμενος, ὤνημαι. καὶ ἐώνημαι ἀττικῶς. ὅθεν ἐωνημένος.

Ὦρσα. ἀπὸ τοῦ ὀρούω. μέλλων, ὀρούσω. ἀόριστος πρῶτος, ὤρουσα. καὶ κατὰ συγκοπὴν ὦρσα. ἢ ὄρω, ὄρσω, ὦρσα αἰολικῶς.

Τέλος τῶν ἀνωμάλων ῥημάτων.

Corrũpo futurꝰ corrũpã. ptm̃ pf. corrupi. Mediũ præteritũ perfectum corrupi.

Tabesco futurum tabescam.

Cruento, & cruento. futurũ cruentabo.

Produco. futurũ ꝑducã. ptm̃ pfe. ꝑduxi. aoristus secundus produxi, a produco.

Principium chi.

Gaudeo. futurꝰ gaudebo. aoristꝰ. gauisus (sum.

Sæuio futurum sæuiã. aoristus sæuiui.

Fundo futurũ fundã a fundo. aoristus (fudi.

Coloro. futurum colorabo.

Principium psi.

Cano futurũ canã. ꝑteritũ pfectũ cecini. aoristus primus cecini.

Principium o mega.

Pello & pello. futurum pellã, & pellam.

Emo emam. futurum emam. præteritum perfectum emi. & emi attice. unde emptus.

Cõcitaui a cõcito. futurum cõcitabo. aoristus primus concitaui. & per syncopen cõcitaui uł cõcito, cõcitabo, cõcitaui æolice.

Finis Anomalorum uerborum.

## ΠΕΡΙ ΠΑΘΩΝ ΛΕΞΕΩΝ, ΕΚ ΤΩΝ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΡΥΦΩΝΟΣ.

ΤΑ ΤΩΝ λέξεων πάθη εἰς δύο γενικώτατα διαιροῦνται, ποσόν τε, καὶ ποιόν. καὶ τοῦ μὲν ποσοῦ εἴδη, ἔνδεια, καὶ πλεονασμός. τοῦ δὲ ποιοῦ, μετάθεσις, καὶ μετάληψις. ἀμφοτέρων δὲ ὁμοῦ συνελθόντων, τμῆσις γίνεται. ἔστι δὲ ὡς ἐν κεφαλαίῳ εἰπεῖν, πάθη πέντε. πλεονασμός. ἔνδεια. μετάθεσις. μετάληψις. τμῆσις.

Πλεονασμός.

Πλεονασμὸς μὲν οὖν, ἐστὶ περισσότης χρόνων, ἢ χρόνου στοιχείων, ἢ στοιχείου.

Ἔνδεια.

Ἔνδεια δὲ, τοὐναντίον, χρόνου, ἢ χρόνων, στοιχείου, ἢ στοιχείων ἐλάττωσις.

Μετάθεσις.

Μετάθεσις δὲ, ἐστὶ στοιχείου μετακίνησις ἐκ τῆς ἰδίας τάξεως ἐφ᾽ ἑτέρας. οἷον, δαρτὰ, ἀντὶ δρατά. καρδία, ἀντὶ καρδία. κάρτος, ἀντὶ κράτος. καλεῖται δὲ καὶ ἐναλλαξις, καὶ ὑπέρθεσις.

Μετάληψις.

Μετάληψις δὲ, ἐστὶ στοιχείου μετακίνησις. οἷον, ἠπεδανὸς, ἀντὶ ἀπεδανός. αἱμηπότης, ἀντὶ αἱμοπότης.

Τμῆσις

Τμῆσις δὲ, ἐστὶ συνθέτου λόγου ἀνάλυσις εἰς δύο λέξεις. οἷον, ἄκρα πόλις, ἀντὶ ἀκρόπολις.

Τούτων δὲ τῶν πέντε παθῶν τὰ μὲν, εἰς εἴδη τέμνεται, ὅ, τε πλεονασμός, καὶ ἡ ἔνδεια. τὰ δὲ λοιπὰ εἰσὶν ἄτμητα. Τοῦ δὲ πλεονασμοῦ εἴδη εἰσὶν ἐννέα. Πρόσθεσις. Αναδίπλωσις. Ἔκτασις. Επέκτασις. Διαίρεσις. Παρένθεσις. Διπλασιασμός. Παρέμπτωσις. Καὶ προσχηματισμός. Τῆς δὲ ἐνδείας εἴδη εἰσὶν ἐννέα. Αφαίρεσις. Ἄρσις. Συστολή. Συγκοπή. Συναλοιφή. Ἔλλειψις. Παρέλλειψις. Ἔκθλιψις, καὶ ἀποκοπή. Αντίκειται οὖν πρόσθεσις μὲν, ἀφαιρέσει. Αναδίπλασις δὲ, ἄρσει. Ἔκτασις, συστολῇ. Επέκτασις, συγκοπῇ. Διαίρεσις, συναλοιφῇ. Παρένθεσις, ἐλλείψει. Διπλασιασμὸς, παρελλείψει. Παρέμπτωσις, ἐκθλίψει. Προσχηματισμὸς, ἀποκοπῇ.

Πρόσθεσις

Πρόσθεσις μὲν οὖν, ἐστὶ προσθήκη στοιχείου κατ᾽ ἀρχὴν τῆς συλλαβῆς. οἷον, ἀσταφὶς, ἀντὶ σταφίς. ἄσταχυς, ἀντὶ στάχυς. θαμὰ, ἀντὶ ἅμα.

Αναδίπλασις.

Αναδίπλωσις δὲ ἐστὶν ἡ τῆς πρώτης ἢ δευτέρας συλλαβῶν διὰ τοῦ αὐτοῦ συμφώνου, ἢ ἀντιστοίχων ἐπάλληλος ἐκφορά. γίνεται δὲ ἐπὶ ῥημάτων, καὶ μετοχῶν, καὶ ὀνομάτων. πλεονάζει δὲ παρά τε ἴωσι, καὶ αἰολεῦσιν. οἷον, κεκάμασιν, ἀντὶ κάμασι. λελάχασιν, ἀντὶ λάχασιν. ἀταρτηρὸς, ἀντὶ ἀτηρός. ἐτήτυμον, ἀντὶ ἔτυμον.

Ἔκτασις.

Ἔκτασις, ἐστὶν ὅταν τὰ συστελλόμενα δίχρονα ἐκταθῇ, ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν μεταθῇ. οἷον, καλὸς, κᾱλός. κόρη, κούρη.

Επέκτασις.

Επέκτασις, ἐστὶ πλεονασμὸς συλλαβῆς κατὰ μέσον ὁμοτόνου, ὅταν μὴ γενικὸν παρατήρημα κωλύσῃ. οἷον, εὐτύχεον, ἀντὶ εὔτυχον. ἀδελφειὸς, ἀντὶ ἀδελφός. πολεμήϊα, ἀντὶ πολέμια.

Διαίρεσις.

Διαίρεσις ἐστὶ συλλαβῆς ἀνάλυσις, ἢ διάστασις εἰς δύο. τὸ δὲ πάθος ἰώνων, καὶ θετταλῶν. οἷον, πάϊς, ἀντὶ παῖς. κόϊλον, ἀντὶ κοῖλον. βέλεος, ἀντὶ βέλους.

Παρένθεσις.

Παρένθεσις ἐστὶ προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν. οἷον, πνείοντες, ἀντὶ πνέοντες. κεινὴ, ἀντὶ κενή. νοῦσος, ἀντὶ νόσος. ξεῖνος, ἀντὶ ξένος. εἰληλυθὼς, ἀντὶ ἐληλυθώς. τὸ δὲ πάθος ἰώνων.

### Διπλασιασμός.

Διπλασιασμός ἐστι τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ μέσον, οὐκ ἀποτελοῦντος συλλαβήν. οἷον, ὅττι, ἀντὶ ὅτι. ἄδδην, ἀντὶ ἄδην. μέσσον, ἀντὶ μέσον. ἔννεπε, ἀντὶ ἔνεπε. ὁππότε, ἀντὶ ὁπότε. τὸ δὲ πάθος ἰώνων.

### Παρέμπτωσις.

Παρέμπτωσις ἐστὶ προσθήκη συμφώνων κατὰ μέσον, οὐκ ἀποτελούντων συλλαβήν. οἷον, πτόλις, ἀντὶ πόλις. πτόλεμος, ἀντὶ πόλεμος.

### Προσχηματισμός.

Προσχηματισμός ἐστι προσθήκη συλλαβῆς κατὰ τὸ τέλος. ἐστι δὲ τῶν τεσσάρων διαλέκτων ἴδιος. οἷον, λόγοισιν, ἀντὶ λόγοις. μούσαισιν, ἀντὶ μούσαις. προσώπατα, ἀντὶ πρόσωπα. ἐγὼν, ἀντὶ ἐγώ. λεκτέον δὲ καὶ περὶ ἐνδείας.

### Ενδεια.

Ενδεια ἐστὶν ἀφαίρεσις κατ᾽ ἀρχὴν στοιχείου. οἷον, ὁρτὴ, ἀντὶ ἑορτή. αἶα, ἀντὶ γαῖα. κεῖνος, ἀντὶ ἐκεῖνος. τὸ δὲ πάθος ἰώνων.

### Αφαίρεσις.

Αφαίρεσις ἐστὶ ἀποβολὴ κατ᾽ ἀρχὴν τῆς ἀναδιπλασιασμένης συλλαβῆς. οἷον, βλῆσθαι, ἀντὶ βεβλῆσθαι. δέχθαι, ἀντὶ δεδέχθαι. βλημένος, ἀντὶ βεβλημένος.

### Συστολή.

Συστολή ἐστιν ὅταν τὰ ἐκτεινόμενα δίχρονα συσταλῆ, ἢ τὰ μακρὰ, ἢ τὰ βραχέα ἀντίστοιχα αὐτῶν μετατεθῆ. οἷον, φυσίζοος, ἀντὶ φυσίζωος. ξερὸν, ἀντὶ ξηρόν.

### Συγκοπή.

Συγκοπή ἐστιν ἀποβολὴ συλλαβῆς κατὰ τὸ μέσον. οἷον, κάμμορος, ἀντὶ κακόμορος. δάσκιον, ἀντὶ δασύσκιον.

### Συναλοιφή.

Συναλοιφή ἐστι δύο συλλαβῶν κατὰ φωνήεντος ἕνωσις καταβολῆ τόνων. γίνεται δὲ κατὰ τρόπους ἑπτά. ἁπλοῦς μὲν, τρεῖς. κατὰ θλῖψιν. κατὰ κρᾶσιν. κατὰ συναίρεσιν. συνθέτους, δὲ τέσσαρας. κατὰ θλῖψιν, καὶ κρᾶσιν. κατὰ θλῖψιν, καὶ συναίρεσιν. κατὰ κρᾶσιν, καὶ συναίρεσιν. κατὰ θλῖψιν, καὶ κρᾶσιν, καὶ συναίρεσιν. κατὰ θλῖψιν, ἐπ᾽ ἐμὲ, ἀντὶ ἐπὶ ἐμέ. κατὰ κρᾶσιν, τἀμὰ, ἀντὶ τὰ ἐμά. κατὰ συναίρεσιν, νηρῆδες, ἀντὶ νηρηΐδες. κατὰ θλῖψιν, καὶ κρᾶσιν. κἀγὼ, ἀντὶ καὶ ἐγώ. κατὰ θλῖψιν, καὶ συναίρεσιν, ἐμοὔποδίζει, ἀντὶ ἐμοὶ ὑποδίζει. κατὰ κρᾶσιν καὶ συναίρεσιν, ὡπόλος, ἀντὶ ὁ αἰπόλος. κατὰ θλῖψιν, καὶ κρᾶσιν, καὶ συναίρεσιν, ἐν τᾀθιοπίᾳ, ἀντὶ ἐν τῇ αἰθιοπίᾳ.

### Ελλειψις.

Ελλειψις ἐστὶν ἀποβολὴ φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν. ἀμύξαι, ἀντὶ αἰμύξαι. γεραὸν, ἀντὶ γεραιόν.

### Παρέλλειψις.

Παρέλλειψις ἐστὶν ὅταν ἕν τι τῶν διπλασιαζομένων συμφώνων παραλείπεται. κάλιον, ἀντὶ κάλλιον. θᾶτον, ἀντὶ θᾶττον.

### Εκθλιψις.

Εκθλιψις ἐστὶν ἀποβολὴ ἑνὸς συμφώνου ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ ποιοῦντος συλλαβήν. σκῆπτον, ἀντὶ σκῆπτρον.

### Αποκοπή.

Αποκοπή ἐστιν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος. οἷον, δῶ, ἀντὶ δῶμα. ἀπόλλω, ἀντὶ ἀπόλλωνα. ποσειδῶ, ἀντὶ ποσειδῶνα.

## ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΤΩΝ ΑΡΙΘΜΩΝ.

Ε

Τι τῶν σημείων ἄντις φαίη καὶ ταῦτα ὅσα ἀριθμοῦ σημεῖά ἐστι. καὶ γὰρ ταῦτα ἔν τε ταῖς γραφαῖς τῶν βιβλίων ἤδη τοῖς πέρασιν ὁρῶμεν γραφόμενα. ἀλλὰ καὶ παρὰ σόλωνι τῷ τοὺς νόμους ἀθηναίων γράψαντι τὰ ἐπ᾽ ἀργυρίου προστιμήματα τούτοις ὁρῶ τοῖς γράμμασι σεσημασμένα. καὶ στήλας δὲ τὰς παλαιὰς, καὶ ψηφίσματα, καὶ νόμους πολλοὺς οὕτως ἐστὶν εὑρέσθαι τὰ τῶν ἀριθμῶν σημεῖα ἔχοντας. φέρε οὖν καὶ ταῦτα γράψωμεν ἵνα μηδὲν ἡμῖν παρεῶφθαι δόξῃ. τὸν μὲν οὖν ἕνα ἀριθμὸν ἓν ἰῶτα σημαίνει. τὸν δὲ δύο, δύο ΙΙ. καὶ οὕτω μέχρι τῶν τεσσάρων. τὸν δὲ πέντε τὸ π̄ γράμμα σημαίνει. ὁμοίως τὸν ἓξ τὸ αὐτὸ π̄ καὶ μετὰ τοῦ ἑνὸς Ῑ ὥσπερ τοῖς πέντε ἑνὸς προστιθεμένου. καὶ μέχρι τῶν ἐννέα. ὁ γὰρ δέκα τῷ Δ̄ σημαίνεται. τὰ δὲ εἴκοσι τὰ δύο ΔΔ. καὶ μέχρι τῶν τεσσαράκοντα ὁμοίως. τὰ γὰρ πεντήκοντα τὸ π̄ γράμμα σημαίνει Δ̄ ἔχον ἐν αὐτῷ μέσον, [Δ]. τὰ δὲ ἑξήκοντα ταυτὸ τοῦτο τὸ σημεῖον ἀκολούθως αὐτοῖς παρατιθέμενον. καὶ οὕτω μέχρι τῶν ἐνενήκοντα. τὰ γὰρ ἑκατὸν τῷ Η̄ σημαίνεται. τὰ διακόσια τὰ δύο ΗΗ. καὶ οὕτω μέχρι τῶν τετρακοσίων. τὰ γὰρ πεντακόσια τὸ π̄ γράμμα σημαίνει ἔχον ἐν ἑαυτῷ μέσον τὸ Η̄. [Η]. τὰ δὲ ἑξακόσια ὁμοίως τοῦ αὐτοῦ τούτου σημείου παρατιθεμένου τοῦ Η̄, μέχρι τῶν ἐνακοσίων ὁμοίως. τὰ γὰρ χίλια τὸ Χ̄ γράμμα σημαίνει. καὶ τὰ δισχίλια τὰ δύο ΧΧ. καὶ μέχρι τῶν τετρακισχιλίων. ὁμοίως πάλιν τὰ πεντακισχίλια τὸ π̄ ἔχον μέσον τὸ Χ̄ σημαίνει. [Χ]. τὰ δὲ ἑξακισχίλια παραπλησίως τοῖς προειρημένοις τὸ αὐτὸ τοῦτο σημαίνει παρατιθεμένου αὐτῷ τοῦ Χ̄. καὶ μέχρι τῶν ἐνακισχιλίων ὁμοίως. τὰ δὲ μύρια τὸ Μ̄ γράμμα σημαίνει. αἱ δὲ παραθέσεις τούτων ἡνίκα μὲν αὔξειν τοὺς ἀριθμοὺς δέῃ, ἐπὶ τὸ δεξιὸν μέρος γίνονται. ἡνίκα δὲ μειοῦν, ἐπὶ τὸ ἕτερον. ἡ γὰρ παράθεσις ἐκεῖθεν σημαίνει, ὅτι χρὴ τοῦτον τὸν ἐλάττω ἀριθμὸν, ὑπ᾽ ἐκείνου τοῦ πλείονος ἀφαιρεῖν. ὑπέγραψα δ᾽ αὐτὰ τὰ σχήματα τῶν ἀριθμῶν κατὰ τὸ ἑξῆς ἀπὸ τῆς μονά-

δος.

δος ἀρξάμενος παραθεὶς αὐτῷ ἕκαστα τὰ τοῦ κοινοῦ ἀριθμοῦ σημεῖα. ἵν᾽ οὕτω μᾶλλον γνώριμα ᾖ τὰ προειρημένα. τούτων χρὴ ὡς προείρηται ποιεῖσθαι τὰ παρακείμενα γράμματα. τὸ ἕκαστον ἀριθμοῦ πλῆθος σημαίνει. ἔγραψα δὲ μονάδας, δεκάδας, ἑκατοντάδας, χιλιάδας. τὰς γὰρ ἐφ᾽ ἑκάστῳ τούτων παρ᾽ αὐτῶν παραυξήσεις δηλονότι. καὶ τῶν παραδεδομένων ἐστὶ παραθετὸν δ᾽ ἀεὶ τὸν μείζω τῷ ἐλάττονι κατὰ τὸ ἀκόλουθον παρατιθέντας τοσαῦτα τῶν ἀριθμῶν.

Ι α´ ἕν. ΙΙ β´ δύο. ΙΙΙ γ´ τρία. ΙΙΙΙ δ´ τέσσαρα. Γ ε´ πέντε. ΓΙ ϛ´ ἕξ. ΓΙΙ ζ´ ἑπτά. ΓΙΙΙ η´ ὀκτώ. ΓΙΙΙΙ θ´ ἐννέα. Δ ι´ δέκα. ΔΙ ια´ ἕνδεκα. ΔΙΙ ιβ´ δώδεκα. ΔΙΙΙ ιγ´ τρισκαίδεκα. ΔΙΙΙΙ ιδ´ τεσσαρεσκαίδεκα. ΔΓ ιε´ πεντεκαίδεκα. ΔΓΙ ιϛ´ ἑκκαίδεκα. ΔΓΙΙ ιζ´ ἑπτακαίδεκα. ΔΓΙΙΙ ιη´ ὀκτωκαίδεκα. ΔΓΙΙΙΙ ιθ´ ἐννεακαίδεκα. ΔΔ κ´ εἴκοσι. ΔΔΙ κα´ εἰκοσιέν. ΔΔΙΙ κβ´ εἰκοσιδύο. ΔΔΙΙΙ κγ´ εἰκοσιτρία. ΔΔΙΙΙΙ κδ´ εἰκοσιτέσσαρα. ΔΔΓ κε´ εἰκοσιπέντε. ΔΔΓΙ κϛ´ εἰκοσιέξ. ΔΔΓΙΙ κζ´ εἰκοσιεπτά. ΔΔΓΙΙΙ κη´ εἰκοσιοκτώ. ΔΔΓΙΙΙΙ κθ´. εἰκοσιεννέα. ΔΔΔ λ´ τριάκοντα. ΔΔΔΙ λα´. ΔΔΔΙΙ λβ´. ΔΔΔΙΙΙ λγ´. ΔΔΔΙΙΙΙ λδ´. ΔΔΔΓ λε´. ΔΔΔΓΙ λϛ´. ΔΔΔΓΙΙ λζ´. ΔΔΔΓΙΙΙ λη´. ΔΔΔΓΙΙΙΙ λθ´. ΔΔΔΔ μ´. ΔΔΔΔΙ μα´. ΔΔΔΔΙΙ μβ´. ΔΔΔΔΙΙΙ μγ´. ΔΔΔΔΙΙΙΙ μδ´. ΔΔΔΔΓ με´. ΔΔΔΔΓΙ μϛ´. ΔΔΔΔΓΙΙ μζ´. ΔΔΔΔΓΙΙΙ μη´. ΔΔΔΔΓΙΙΙΙ μθ´. 𐅄 ν´. πεντήκοντα 𐅄Ι να´. 𐅄ΙΙ νβ´. 𐅄ΙΙΙ νγ´. 𐅄ΙΙΙΙ νδ´. 𐅄Γ νε´. 𐅄ΓΙ. νϛ´. 𐅄ΓΙΙ νζ´. 𐅄ΓΙΙΙ νη´. 𐅄ΓΙΙΙΙ νθ´. 𐅄Δ ξ´. ἑξήκοντα. 𐅄ΔΙ ξα´. 𐅄ΔΙΙ ξβ´. 𐅄ΔΙΙΙ ξγ´. 𐅄ΔΙΙΙΙ ξδ´. 𐅄ΔΓ ξε´. 𐅄ΔΓΙ ξϛ´. 𐅄ΔΓΙΙ ξζ´. 𐅄ΔΓΙΙΙ ξη´. 𐅄ΔΓΙΙΙΙ ξθ´. 𐅄ΔΔ ο´. ἑβδομήκοντα. 𐅄ΔΔΙ οα´. 𐅄ΔΔΙΙ οβ´. 𐅄ΔΔΙΙΙ ογ´. 𐅄ΔΔΙΙΙΙ οδ´. 𐅄ΔΔΓ οε´. 𐅄ΔΔΓΙ οϛ´. 𐅄ΔΔΓΙΙ οζ´. 𐅄ΔΔΓΙΙΙ οη´. 𐅄ΔΔΓΙΙΙΙ οθ´. 𐅄ΔΔΔ π´. ὀγδοήκοντα. 𐅄ΔΔΔΙ πα´. 𐅄ΔΔΔΙΙ πβ´. 𐅄ΔΔΔΙΙΙ πγ´. 𐅄ΔΔΔΙΙΙΙ πδ´. 𐅄ΔΔΔΓ πε´. 𐅄ΔΔΔΓΙ πϛ´. 𐅄ΔΔΔΓΙΙ πζ´. 𐅄ΔΔΔΓΙΙΙ πη´. 𐅄ΔΔΔΓΙΙΙΙ πθ´. 𐅄ΔΔΔΔ ϛ´. ἐννενήκοντα. 𐅄ΔΔΔΔΙ ϛα´. 𐅄ΔΔΔΔΙΙ ϛβ´. 𐅄ΔΔΔΔΙΙΙ ϛγ´. 𐅄ΔΔΔΔΙΙΙΙ ϛδ´. 𐅄ΔΔΔΔΓ ϛε´. 𐅄ΔΔΔΔΓΙ ϛϛ´. 𐅄ΔΔΔΔΓΙΙ ϛζ´ 𐅄ΔΔΔΔΓΙΙΙ ϛη´. 𐅄ΔΔΔΔΓΙΙΙΙ ϛθ´. Η ρ´. ἑκατόν. ΗΗ σ´. διακόσια. ΗΗΗ τ´. τριακόσια. ΗΗΗΗ υ´. τετρακόσια. 𐅅. φ´. πεντακόσια. 𐅅Η χ´. ἑξακόσια. 𐅅ΗΗ ψ´. ἑπτακόσια. 𐅅ΗΗΗ ω´. ὀκτακόσια. 𐅅ΗΗΗΗ ϡ ἐννακόσια. Χ´. ͵α χίλια. ΧΧ ͵β. δισχίλια. ΧΧΧ ͵γ. τρισχίλια. ΧΧΧΧ ͵δ. τετρακισχίλια. 𐅆 ͵ε. πεντακισχίλια. 𐅆Χ ͵ϛ. ἑξακισχίλια. 𐅆ΧΧ ͵ζ. ἑπτακισχίλια. 𐅆ΧΧΧ ͵η. ὀκτακισχίλια. 𐅆ΧΧΧΧ ͵θ. ἐννακισχίλια. Μ ͵ι. μύρια.

# ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΕΓΚΛΙΝΟΜΕΝΩΝ ΚΑΙ ΕΓΚΛΙΤΙΚΩΝ, ΚΑΙ ΣΙΝΕΓΚΛΙΤΙΚΩΝ ΜΟΡΙΩΝ.

Ἐγκλινόμενόν ἐστι μόριον, λέξις κατὰ τὸ τέλος ὀξυνομένη τρέπουσα δὲ εἰς βαρεῖαν κατὰ τὴν τοῦ λόγου σύνταξιν, καθάπερ ἔχει ἡ μὴ μητρυιὴ περικαλλὴς ὀρίβοια.

Ἐγκλιτικὸν ἐστὶ μόριον ὃ τὴν ἰδίαν ὀξεῖαν κομίζον, τὴν προκειμένην βαρεῖαν εἰς ὀξεῖαν μεθίστησιν. ᾧ ἢ δυνάμει ἢ φύσει, ἑτέρα βαρεῖα ὑπέρκειται. δυνάμει μὲν ὡς τὸ, δώματά μοι, φύσει δὲ καθάπερ ἀρκεσίλαός τε.

Συνεγκλιτικὸν δέ ἐστι σύνταξις δυοῖν ἢ πλειόνων μορίων ἐγκλιτικῶν ἐπ᾽ ἀλλήλων ὀξυνομένων. ὡς ἔχει τὰ τοιαῦτα, ἤ νύ σέ που δέος ἴσχει. ὁ μὲν γὰρ η ὀξύνεται διὰ τὸ νυ ἐγκλιτικόν. τὸ δὲ νυ διὰ τὴν ἀντωνυμίαν τὴν σε. ἡ δὲ σε ἀντωνυμία διὰ τὸν που παραπληρωματικὸν σύνδεσμον. εἴρηται δὲ συνεγκλιτικὸν διὰ τὸ σὺν ἐγκλιτικῷ παραλαμβανόμενον διεγείρειν τὴν ὑπερκειμένην ἐν τῷ τέλει τῆς λέξεως ὀξεῖαν. Διαφέρει δὲ ἐγκλινόμενον ἐγκλιτικοῦ. ᾗ τὸ μὲν ἐγκλινόμενον κοινὸν ὄνομα πάσης λέξεώς ἐστι κατὰ τὸ τέλος ὀξυνομένης, τρεπούσης τε εἰς βαρεῖαν. τὸ δὲ ἐν ἰδίοις θέμασι καταλειπόμενον ἀριθμῷ ἰδίῳ καὶ ὅτι τὸ μὲν, αὐτὴν μόνην τὴν ἐπὶ τέλους ὀξεῖαν ἀμείβει εἰς βαρεῖαν. τὸ δὲ καὶ μετατίθησιν εἰς τὴν ὑπερκειμένην συλλαβὴν, ἢ τὰ τοῦ λόγου ἐπιδέχοιτο. Πᾶν τοίνυν ἐγκλιτικὸν μόριον ἢ μονοσύλλαβόν ἐστιν, ἢ δισύλλαβον. καὶ πᾶν ἐγκλιτικὸν ὑπὲρ μίαν συλλαβὴν δίχρονόν ἐστιν. ἀναπέμπει τε τὴν ὀξεῖαν ἐπὶ τὴν ὑπερκειμένην βαρεῖαν ἐν τῇ συντάξει καθόλου ἐπὶ μόνων τῶν προπαροξυτόνων καὶ προπερισπωμένων. οἷον ἀρκεσίλαόν τε. σχοῖνόν τε. σκαῦλόν τε. οὐδέ ποτε δὲ ἐπὶ τῶν περισπωμένων, διὰ τὸ τὴν περισπωμένην μηδὲν πάσχειν ἐν τῇ συντάξει, ἐπὶ δὲ τῶν παροξυτόνων μόνων τῶν τροχαίων. λάμπέ τε. φύλλά τε, καὶ φλοιόν. οὐδέ ποτε δὲ τούτῳ ἐν σπονδείῳ παρακολουθεῖ. ὡς δὴ ἐπὶ τοῦ ἀτρείδης τε ἄναξ ἀνδρῶν, φοίβῳ θ᾽ ἱερὴν ἑκατόμβην, ἀλλ᾽ οὐδὲ ἐν ἰάμβῳ, πάρος γέ μιν οὔτι θαμίζειν. ἀλλ᾽ οὐδὲ ἐν τῷ πυρριχίῳ. ὅτι οἱ συμφράσατο βουλάς. ἐὰν δέ ποτε τροχαῖος γένηται διπλασιασθέντος τοῦ τ ἔσονται ἐπάλληλοι ὀξεῖαι. οἷον, ὅττί μιν ὡς ὑπέδεκτο. πλὴν εἰ μὴ τὸ ἐπιφερόμενον μόριον δισύλλαβον εἴη ἀπὸ τοῦ σφ ἀρχόμενον. ἀκολουθήσει γὰρ καὶ τοῖς παραξυνομένοις οὐκ ἐν μόνῳ τροχαίῳ ἀλλὰ καὶ ἐν ἄλλοις ποσίν. οἷον, ἵνά σφιν δῶκ᾽ ἐννοσίχθων. ἔνθα σφέας ἐκίχανον υἱὸς δολίοιο μελανθεύς. τόξα σφεῶν τις ἄριστα κυδωνία. τάξει δὲ χρῆται τῇ ὑποτακτικῇ τοῦ τοιούτου εὐλόγως πάνυ γινομένου. εἰ γὰρ διὰ τὸ ἀναπέμπειν τὴν ὀξεῖαν εἰς τὰ ὑπερκείμενα ἐγκλιτικὰ καλεῖται,

σαφὲς ὅτι ἀποδέξεται τὸ ὑποτάσσεσθαι, ἵνα καὶ τὸ ἰδίωμα συνδείξηται.

Ἐκ μὲν ὀνομάτων ἐγείρει τὴν ὀξεῖαν τὸ τὶς, καὶ αἱ τούτου πτώσεις. καὶ τὰ ἰσοδυναμοῦντα τούτῳ, ὅτε ἀοριστωδῶς ἐκφέρεται. οἷον ἦλθέ τις, ἐκάλεσέ τις, ἐν ἴσῃς καὶ πάντοτε ὑποτακτικόν ἐστι. τὸ μὲν οὖν τις ἐγείρει ἐν τῷ. εἰ μέν τις τὸν ὄνειρον. τινός, μή τινος. τινί, οὔ τινι κοιμηθεῖσα. τινὰ καί τινα τρωϊάδων. τινές, οἵ τινες ἀναίρεσιν. τινάς, οὔς τινας μεθιέντας ἴδοι. ἰσοδυναμεῖ δὲ τῷ μὲν τινός, τὸ τεῦ, ἀλλ' οὔ τευ οἶδα. τῷ δὲ τινί, τὸ τῷ, οἷον οὔτε σοί, οὔτε τῳ ἄλλῳ. Ἐκ δὲ ῥημάτων, τὸ εἰμὶ καὶ φημὶ μόνα ἐγκλιτικά εἰσιν. οἷον· ὅσσον σεῖο φέρτερός εἰμι, καὶ ἀπὸ τούτου ἐγκλιτικά εἰσιν, εἶς· οἷον αἵματός εἰς ἀγαθοῖο. ἐστί, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι. ἐστόν, οἴμοι σκυζομένω περ ἀχαιῶν φέρτεροί ἐστον. εἰσμέν, αὐτοὶ γάρ ἐσμεν. εἰσίν, οἵ με φέρτεροί εἰσι νοῆσαί τε κρῖναί τε. καὶ τὸ φημί, πεζὸς δ' οὐδέ κε φημι τροίην ὀρίβωλον. ἐκ δὲ μετοχῶν οὐκ οἷόν τέ ἐστιν ἐγκλιτικὸν μόριον. ἀεὶ γὰρ ταῦτα ἐκ θέματος ἀνάγεται, μεταλήψεις ῥημάτων εἰσὶν ἀλλ' οὐδὲ διὰ ἄρθρον. τῇ γὰρ συντάξει ἡ παράθεσις τῶν ἄρθρων μάχεται. ἅπαντα γὰρ ταῦτα προτακτικά ἐστιν, ἀρκτικώτερα ὄντα, τῶν καλουμένων προτακτικῶν, ἢ κατάρχει ὅλου λόγου. ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκεν. καὶ ὃς μάλα πολλὰ πλάγχθη. διὸ οὐδέποτε καὶ ἰδίῳ ῥήματι κατακλίνεται. πρὸ αὐτοῦ τε πίπτουσιν αἱ στιγμαί. καὶ διὰ ἁπάντων τῶν ὄντων πολλά ἐστι μόρια εὑρεῖν, ἃ εἰς τὴν προκειμένην σύνταξιν ὑπάγεται. Ἐκ δὲ ἀντωνυμιῶν, αἱ μὲν ἐγείρουσαι τὴν ὀξεῖαν τὴν πρὸ αὐτῶν ἐγκλιτικαὶ καλοῦνται. αἱ δὲ μὴ ἐγείρουσαι ὀρθοτονούμεναι. αἱ μὲν οὖν ἀεὶ ἐγείρουσαι τὴν πρὸ αὐτῶν ὀξεῖαν, εἰσὶν αἵδε. μευ. μου. μοι. τοι. με. μιν. σφιν. σφε. σφωέ. τούτων παραδείγματα. τῆς μὲν μευ, κλῦθί μευ ἀργυρότοξε. μοι, οὐ γάρ μοι βωμός. τοι, καί τοι ἐγὼ συνέριθος. με, καί με φίλησεν, ὡς εἴ τε πατήρ. μιν, καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα. σφιν, καί σφιν ἅμα ἐστὶ μέδων. σφε, γίνωσκε γάρ σφε παρός. σφωέ, τίς τ' ἄρ σφωε θεῶν. αἱ δὲ ποτὲ μὲν ἐγείρουσαι τὴν πρὸ αὐτῶν, ποτὲ δὲ μή. σεῦ. σέο. σοῦ. σοί. σε. εὗ. οἱ. ἕθεν. σφί. σφω. σφίσι. σφέας. ὅτε μὲν οὖν ἀπολελυμένως λέγονται, καὶ οὐχὶ πρὸς ἕτερον πρόσωπον ἀντιδιαστέλλονται, ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ὅτε δὲ κατὰ τὴν πρὸς ἕτερον διαστολὴν ἐκφέρονται, ὀρθοτονοῦνται. οἷον ἀπολελυμένως σεῦ, ἀλλά σευ ἀκάματος. ὀρθοτονουμένως δὲ, σεῦ δ' ὤθι διζέλετο ψυχήν. σέο ἀπολελυμένως, ὥς σεο νῦν ἔραμαι. καί σε πρῶτον ἔθηκα. ὀρθοτονουμένως δέ, μή τε σέο ἐν ἀμφιάλῳ ἰθάκῃ. σφω, ὅτε μὲν ἐπὶ τοῦ γ' προσώπου λέγεται, ἐγείρει τὴν πρὸ αὐτοῦ ὀξεῖαν. αἱ δὲ τοῦ τρίτου προσώπου ἑνικαί τε, καὶ πληθυντικαὶ ὅτε μὲν τὸ διὰ αὐτῶν μεταφραζόμενον ὃ καὶ ἐπίταγμα λέγεται, ἐγείρουσι τὸν πρὸ αὐτῶν ὀξεῖαν. ἡ μὲν ἕο. ἐπεὶ ἕο κήδετο λίαν. ἔστι γὰρ ἐπ' αὐτοῦ τοῦ ὀδυσσέος. ἐκήδετο λίαν ὁ εὔμηλος. ὅτε δὲ μεταφραζομένη μετὰ τοῦ ε λέγεται ἡ χώρα, τοῦ ι ἐκφερομένου δασυνομένου, οὐκ ἐγείρουσιν. οἷον, δηΐφοβος δ' ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο. ἔστι γὰρ ἀφ' ἑαυτοῦ. εἰσὶ δὲ ἕο. εὗ. ἕθεν. οἱ. ἕ. σφέων. σφίσι. σφέας. αὗται δὲ καὶ σὺν τοῖς ἐπιτάγμασι λέγονται. ὅτε δὴ καὶ ὀρθοτονοῦνται πάντως. οἷον πὰρ δέ οἱ αὐτῷ. ἐὰν δὲ ἐκ περισσοῦ τὸ ἐπίταγμα λαμβάνηται, ἐγκλίνονται, ἀλλά οἱ αὐτῷ ζεὺς ὀλέσειε βίην. ἔστι γὰρ ἀλλ' αὐτῷ ψιλῶς. ὑποδείγματι τῶν ἐγκλινομένων, ἕο. ἐπεί ἑο κήδετο λίαν. εὗ, ἐπεί εὑ φημὶ βίῃ πολυφέρτερος. ἕθεν, ἐπεὶ οὐ ἕθεν ἐστὶ χερείων. οἱ, καί οἱ εὐχόμενοι. ἕ, καί ἑ κακὴ βεβρῶτες. σφέων, τῷ καὶ σφεων πολέες κακὸν οἶτον ἐπέσπον. σφίσιν, ἀπό τέ σφισιν ὕπνος ὄλωλεν. σφέας, καί σφεας φωνήσας. τῶν δὲ ὀρθοτονουμένων, ἕο δηΐφοβος δ' ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο. εὗ, φρῖξαι δ' εὗ λοφιήν. ἕθεν, αἰνείας δὲ καὶ αὐτὸ ἕθεν ἀσπίδ' ἀνέσχεν. οἱ, ἐπεὶ οὔ τινα φησὶν ὅμοιον οἷ ἔμμεναι δαναῶν. ἕ, καλέοντο μιν εἰς ἓ ἕκαστος. σφῶν, σφῶν τε αὐτῶν καὶ κλισιάων. σφίσι, καὶ τὰ μὲν εὖ δάσαντο μετὰ σφίσι. σφέας, ὀρχομένων δὲ κατὰ ἄστυ διὰ σφέας.

Ἐξ ἐπιρρημάτων δὲ ἐγερτικά ἐστι, τὰ ἐκ πεύσεως ἀοριστούμενα ἔχοντα τὴν αὐτὴν ἀκολουθίαν τῶν τόνων, τήν τε ποσότητα δὲ συλλαβῶν. τὸ μὲν γάρ που ἐγκλιτικόν ἐστιν. ὡς ἐν τῷ, εἴ που ἐσταθρησείων τῶν πευστικῶν ἑκάστοτε ὀρθοτονουμένων. ἐκπεύσεως δὲ ἀοριστούμενα, ποτέ. καὶ ποτέ τοι τρεῖς τόσσα. πόθι, αἴκε ποθι ζεύς. πῇ. ἀλλά πῃ ἄλλῃ. πόθεν, καὶ πόθεν ἐλθών. πῶς, ἀλλά πως ἅμα πάντα. καὶ χωρὶς τοῦ σ. μηδέ πω ὑπόχε σφιν. Ἐκ δὲ συνδέσμων ἐγείρουσι τὴν πρὸ αὐτῶν οἵδε ἐκ μὲν συμπλεκτικῶν. τε. καί τε θεοὶ ξείνοισι. κεν, καί κεν ἐλαφρότερος. κε. καί κε τὸ βουλοίμεθα ἐκ δὲ παραπληρωματικῶν, γε, εἴ γε μὴν ἥδεις. περ. εἴπερ ὅ γ' εὖ χολῆς. νυ. μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο. νυν, δεῦρό νυν ἢ τρίποδος. πού. εἴ που παρκαλόωσι. περ, μὴ δ' οὕτως ἀγαθός περ ἐών. θην. οὔ θην ἔκτορι πάντα. ῥα. ἄλλοι μέν ῥα θεοί τε. ὁ δὲ ἄρα οὐ παραλαμβάνεται, ἐπεὶ ἀπὸ φωνήεντος ἄρχεται. ὥσπερ γὰρ αἱ ἀντωνυμίαι τὸ κατ' ἀρχὰς ε ἀποβάλλουσαι, ἐγκλιτικαὶ ἐγίνοντο. ἐμοῦ. μοῦ. ἐμοί. μοί. ἐμέ. μέ. οὕτως τὸ ἄρα ἀπέβαλε τὸ α. καὶ ἐγένετο ῥα. καὶ ἐνεκλίθη, καὶ ταῦτα μὲν οὕτως.

## ΠΕΡΙ ΤΟΥ ΕΣΤΙΝ.

Τὸ, ἔστιν, ἡνίκα ἀρχὴ λόγου, ἢ ὑποτάττεται τῇ οὐ ἀποφάσει, ἢ τῷ καί, ἢ εἰ, ἢ ἀλλὰ συνδέσμῳ, ἢ τῷ ὡς ἐπιρρήματι, ἢ τῷ τοῦτο, τηνικαῦτα τὴν ὀξεῖαν ἔχει ἐπὶ τοῦ ε, οἷον. ἔστι πόλις ἐφύρη μυχῷ ἄργεος ἱπποβότοιο. οὐκ ἔστ' οὐ δὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι. ὡς ἔστι κακὸν ἀμαθία. εἰ ἔστιν οὕτως.

οὕτως. ἀλλ' ἔστιν εἰπεῖν. τοῦτ' ἔστιν ἁμάρτημα. ἐὰν δὲ ὑποτάσσηται ὀξυτόνῳ λέξει, ἢ περισπωμένῃ, ἐγκλίνεται. οἷον καλός ἐστιν. ἑρμῆς ἐστιν. ἢ τροχαίῳ μὴ παροξυτόνῳ ἀλλὰ προπερισπωμένῳ. οἷον οἶκός ἐστι. δεῖ προσθεῖναι, εἰ μὴ ἔχοι τὴν τελευταίαν συλλαβὴν ὁ τροχαῖος θέσει μακράν, ὡς ἔχει τὸ φοῖνιξ ἐστί. κῆρυξ ἐστί. διὰ γὰρ τὴν τοῦ ξ ἐπιφορὰν οὐ γίνεται ἔγκλισις. μὴ παροξυτόνῳ δὲ εἶπον, διὰ τὸ φῦλλα ἐστί. παροξύτονος γὰρ οὗτος ὁ τροχαῖος, οὐ χὶ προπερισπώμενος. καὶ διὰ τοῦτο τὸ ἔστιν οὐκ ἐγκλίνεται ἀλλ' ἐπὶ τοῦ ι ἔχει τὴν ὀξεῖαν. γίνεται οὖν ἡ ἔγκλισις ὀξυτόνῳ μὲν λέξει, καλός ἐστι. παροξυτόνῳ δὲ ἄνηκός ἐστι. περισπωμένῃ δὲ θωμᾶς ἐστι. προπερισπωμένῃ δὲ φαῦλός ἐστι. καὶ τὴν ἐπανάληψιν τῶν αὐτῶν πεποιήμεθα διὰ σαφεστέρας γνῶσιν. ἐὰν δὲ μὴ οὕτως ἔχῃ ἤγουν ὡς προτέτακται, τὴν ὀξεῖαν ἐπὶ τοῦ ι δέχεται, καὶ ἐὰν πρόκηται αὐτοῦ ἢ τροχαῖος παροξύτονος, οἷον μάντις. πόρνος. ἢ προπερισπώμενος μὲν, ἔχων δὲ τὴν τελευταίαν θέσει μακράν, ὡς ἔχει τὸ, φοῖνιξ. κῆρυξ. ἢ σπονδεῖος ὥσπερ τὸ ἥρως, εἵλως. ἢ ἴαμβος, ὡς τὸ ἔρως, γέλος, ἢ πυῤῥίχιος, καθάπερ τὸ λόγος, πόνος. τηνικαῦτα τὸν τόνον ἐπὶ τοῦ ι δέχεται, οἷον μάντις ἐστί. φοῖνιξ ἐστί. ἥρως ἐστί. γέλως ἐστί. λόγος ἐστί.

## ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΧΑΡΑΚΩΣ ΠΕΡΙ ΤΩΝ ΕΓΚΛΙΝΟΜΕΝΩΝ.

Ιστέον ὅτι τὰ ἐγκλιτικὰ μόρια οὐκ εἰσὶν ἐν τοῖς ὀκτὼ μέρεσι τοῦ λόγου, ἀλλ' ἐν πέντε. ὀνόμασι. ῥήμασιν. ἀντωνυμίαις. ἐπιῤῥήμασι. καὶ συνδέσμοις. καὶ οὐ πᾶσα λέξις ἐν τούτοις ἐγκλίνεται, ἀλλ' ἐναρίθμητοι. εἰσὶ δέ τινες ἐν τοῖς ἐγκλινομέναις διάφορον σημαινόμενον ἀναφέρουσαι ἐν τῷ ὀρθοτονεῖσθαι, καὶ ἐγκλίνεσθαι. ὀρθοτονεῖσθαι μὲν φαμὲν, ὅτε τὸν ἀνάλογον φυσικὸν τόνον φυλάττει. ἐγκλινόμενον δὲ, ὅτε τὸν τόνον ἀναβιβάζει τῇ πρὸ αὐτοῦ λέξει, ἀπὸ μεταφορᾶς τῶν ἐγκλινόντων ἐπὶ τὰ ὀπίσω τὰ σώματα αὐτῶν. ἔχει δὲ τὰ τοιαῦτα ὀξεῖαν, ἢ περισπωμένην. βαρύτονος γὰρ λέξις οὐκ ἐγκλίνεται, εἰ μὴ κατὰ πάθος εἴη ἡ βαρεῖα ὡς τὸ σφέας, καί τινα ἄλλα ῥηθησόμενα. προηγεῖται δὲ τούτων τῶν ἐγκλινομένων λέξις προπαροξύτονος, ὡς ἄνθρωπός τις. ἢ ὀξύτονος, ὡς μαθητής μου, σοφός τις. ἢ τροχαϊκὴ, ὡς δοῦλός μου. ἄλλός μοι. ἔνθά μοι. ἄλλων δὲ προηγουμένων οὐκ ἐγκλίνονται, ἀνθρώπου τινός. ἄλλου τινός. ἄλλῳ τινί. καὶ δεῖ εἰπεῖν τὴν αἰτίαν. μιᾷ λέξει κατὰ συνέχειαν δύο ὀξείας οἱ παλαιοὶ οὐκ ἐζήτουν δοῦναι. κακοφωνίαν γὰρ ποιοῦσι. τὸ οὖν ἄνθρωπός τις, οὐκ ἔστι κατὰ συνέχειαν, ἀλλὰ μεσοσυλλαβεῖ βαρεῖα, ἡ ἐν τῷ θρω. σοφός τις, μία ἐστὶν, ἡ εἰς τὸ ος. ὅθεν μέμφονται οἱ ἀκριβεῖς τὸν θέσει τροχαϊκὸν, ἔχοντα δύο ὀξείας ἐφεξῆς ἄλλός τις. καὶ εὐλόγως εἰς τὴν ἀρχὴν τῆς ὀδυσσείας ὁ ἀρίσταρχος οὐκ ἐβουλήθη δοῦναι εἰς τὸν ἄνδρα μοι δύο ὀξείας, ἀλλὰ μίαν εἰς τὸ αν, φάσκων ἐν ἀρχῇ τῆς ποιήσεως. παράλογον οὖν μὴ ποιῆσαι ἁπλῶς οὖν προπαροξυτόνου τροχαϊκοῦ προηγουμένου αἱ ἐγκλίσεις γίνονται. καὶ πρὸς σαφήνειαν δὲ δεῖ εἰπεῖν ὅτι τὰ ἐγκλινόμενα, ἢ μονοχρονοῦσιν, ὕβρισέ με. ἢ διχρονοῦσιν, ἤκουσά τινος. ἢ τριχρονοῦσιν, ἤκουσά τινος. καὶ τότε τῇ πρώτῃ λέξει ἀναβιβάζουσι τὸν τόνον· ὡς ἐλαφρὰ ὄντα. ὅτε δὲ τετραχρονοῦσι τῇ πρώτῃ συλλαβῇ αὐτῶν, ἡμῶν, ἧμων, ἡμᾶς, ἧμας, ἡμῖν, ἧμιν. Ιστέον δὲ ὡς ταῦτα τὰ τετράχρονα, καὶ εἰ συστέλλουσι τὸ τέλος, καὶ γίνονται τρίχρονα, οὐκ ἀναβιβάζουσι τῇ πρώτῃ λέξει, ἀλλὰ φυλάττουσι τὸν τόνον, ὡς ὄντα ἀπ' ἀρχῆς ἐγκλινόμενα. οἷον. δέδωκεν ἧμιν συστεῖλαι τὸ ι. παρὰ τοῖς ἴωσιν οὕτως ἔμεινον ἐγκλινόμενον. ὕβρισεν ἧμας τοῦ συστεῖλαι τὸ α. κατὰ διάλεκτον, ἐφύλαξεν ἐν αὐτῇ τῇ συλλαβῇ τὸν αὐτὸν τόνον.

Δεῖ δὲ νοῆσαι ὅτι αἱ δισύλλαβοι ἀναμφιβόλως καὶ ἀναβιβάζουσιν ἐγκλινόμενον, καὶ φυλάττουσιν ὀρθοτονούμεναι, οἷον ἤκουσά τινος, ἀφ' οὗτινος. αἱ δὲ μονοσύλλαβαι ἀναβιβάζουσι μὲν ἐγκλινόμεναι προηγουμένων μὴ δεχομένων τὴν ἔγκλισιν, τὴν ἐπιφερομένην ἄφατον σύγχυσιν ἐποίησαν, οἷον ἀνθρώπου μου, ἔδει εἶναι ἀνθρώπου ἐμοῦ. μέλει μοι, ἔδει ὀρθοτονεῖσθαι ἐμοί. ὅμως μεσοσυλλαβοῦντα οὐ δὲ ἀναβίβασεν, οὐ δὲ ἐφύλαξεν. ἀλλ' ὡς μιᾶς λέξεως οὔσης ὁ τόνος ἐτέθη, ἀνθρώπου μου. καὶ οὕτως ἡμεῖς δοξάζομεν.

Ἄλλοι δέ τινες συγχέουσιν, ὡς καὶ ὁ ῥωμανὸς λέγων, εἰ περισπωμένη προηγεῖται οὐ παρέχει τὸν τόνον. πόθεν τις. ὅθεν με. ψευδὴς γάρ ἐστιν. εἷς γὰρ ὁ τόνος τίθεται. καὶ οὐ παρέχουσι τὸν τόνον ταῖς προηγουμέναις, κἂν μὴ ὦσιν ὡς εἴπομεν προπαροξύτονος, ἢ ὀξύτονος, ἢ τροχαϊκή.

Ιστέον δὲ ὅτι διαφέρει ἐγκλιτικὸν ἐγκλινομένου, οὐχ ὡς λέγει ὁ φιλόπονος ἐν τῇ ἀντωνυμίᾳ ὃς ἐλέγχομεν ἐκεῖ, ἀλλὰ τὸ καθόλου καὶ τῷ μικρῷ. πᾶν γὰρ ἐγκλιτικὸν καὶ ἐγκλινόμενόν ἐστιν. ἢ θέμις ἐγκλιτικὸν, καὶ ἐγκλινόμενον. οὐ πᾶν γε ἐγκλινόμενον, καὶ ἐγκλιτικόν ἐστιν. αἱ λέξεις αἱ ὀξύτονοι ἐν τῇ συνεχείᾳ κοιμίζουσαι τοὺς τόνους, ἐγκλινόμεναι καλοῦνται, οἷον ἡ μηχανὴ περικαλλής, ἰδοὺ αὗται κοιμίζουσαι ἐν τῇ συνεχείᾳ τὸν τόνον, ἐγκλινόμεναι καλοῦνται, καὶ οὐχὶ ἐγκλιτικαί. ἀλλὰ πᾶν ἐγκλιτικὸν, ἐγκλινόμενον.

Περὶ ἑκάστου δὲ μέρους δείξομεν ὀλίγα ἐναντιούμενα τοῖς προειρημένοις, ταῦτα ἂν ἐν εὐκαίρῳ διδάξομεν. νῦν δὲ διαλάβωμεν περὶ τοῦ ὀνόματος.

## ΕΓΚΛΙΤΙΚΑ ΕΝ ΤΟΙΣ ΟΝΟΜΑΣΙΝ.

Καθόλου ἐν τοῖς ὀνόμασι οὐδὲν ἐγκλίνεται εἰ μὴ τὸ τις ἐν ὅλαις ταῖς πτώσεσι, καὶ ἀριθμοῖς, καὶ γένεσι. καὶ ἐν ταῖς εὐθείαις ἀντωνυμίαις μὴ ἐγκλινομένης τὸ οὔτις πανταχοῦ ἐγκλίνεται. καὶ τὸ τοῦ καὶ τῷ, τὰ ἰσοδυναμοῦντα τῷ τινός, τινί, ἐν μόνῃ γενικῇ καὶ δοτικῇ. ταῦτα δὲ καὶ τὸ τίς πρὸς διάφορον σημαινόμενον, καὶ τὰ κινήματα ταῦτα. πυσματικὰ γὰρ ὄντα βαρύνονται ὀρθοτονούμεναι, τίνος. τίνι. τίνα. καὶ τίνε. τίνοιν. τίσι. τίνας. καὶ τὸ τίς τῷ λόγῳ τῆς ἀρχούσης

ἔχει τὴν ὀξεῖαν. ὅθεν οὐ κοιμίζεται ἐν τῇ συνεχείᾳ. τίς ἦλθε; καὶ τὸ τοῦ περισπᾶται καὶ τὸ τῷ. ὅτε γὰρ πυσματικὰ ὄντα ὀρθοτονοῦνται. ἀόριστα δὲ ἀποφαντικὰ ἐγκλίνονται, ἄνθρωπός τις. ἤκουσά τινος. δέδωκά τινι. ὕβρισά τινας, ἤκουσά του λέγοντος. δέδωκά τῳ.

Καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος. ἔλθωμεν δὲ εἰς τὸ ῥῆμα.

## ΕΝ ΡΗΜΑΣΙΝ.

Ἐν τοῖς ῥήμασιν οὐδὲν ἐγκλίνεται εἰ μὴ δύο μόνα, τὸ εἰμὶ καὶ φημί. δηλονότι προηγουμένων τῶν προειρημένων λέξεων, ἐπεὶ τὸ ἀνθρώπου εἰμὶ, οὐκ ἐγκλίνεται. καὶ τὸ οὕτω εἰμί. τοῦ δὲ εἰμὶ ἐγκλίνεται καὶ τὸ δεύτερον πρόσωπον εἷς. αἱματός εἰς ἀγαθοῖο. καὶ ταῦτα οὐ πρὸς διάφορον σημαινόμενον ἐγκλίνεται, ἀλλὰ πρὸς τὴν πρέπουσαν φάσιν. οὕτως ἀρέσκει τοῖς παλαιοῖς. τὸ δὲ εἶ οὐκ ἐγκλίνεται, εἴτε ἀπὸ τοῦ εἰμὶ ὂν διὰ τὸ πάθος, εἴτε ἑτέρωθεν, ἀλλ᾽ ὀρθοτονεῖται καὶ ἐν τῷ ἄνθρωπος εἶ.

Τὸ δὲ ἐστὶ τρίτον πρόσωπον καὶ αὐτὸ κατὰ τὸν λόγον ἐγκλινόμενον τυγχάνει. ἄνθρωπός ἐστι. εἰς πολλὰ δὲ αὐτὸ παρέβη τὴν ἀκολουθίαν ἐν ἀρχῇ μὲν γὰρ ἄλλης λέξεως μὴ ἐγκλινομένης ἐγκλίνεται. τῇ ἰδίᾳ ἀρχῇ τὸν τόνον ἀποπέμπον. ἔστι πόλις ἐφύρη, καὶ μετὰ τοῦ οὐκ ἔστι ταῦτα. ἐγκλίνεται δὲ καὶ τὸ ἐστὸν δυϊκόν. εἰ καὶ ἄλλως τήλεφος ὁ γραμματικὸς φρονεῖ. ἔτι καὶ τὰ πληθυντικὰ, ἄνθρωποί ἐσμεν. ἄνθρωποί εἰσιν.

Ἔτι καὶ τὸ φημὶ ἐγκλίνεται. ἄνθρωπός φημι. τὸ δὲ φὴς δεύτερον οὐκ ἐγκλίνεται. τὸ δὲ φησὶ ἐγκλίνεται, ἄνθρωπός φησι.

Ἔτι καὶ τὰ δυϊκὰ, καὶ πληθυντικὰ κατὰ τὴν χρῆσιν τῶν παλαιῶν, εἰ καί τινες τοὐναντίον φρονοῦσιν.

## ΕΝ ΑΝΤΩΝΙΜΙΑΙΣ.

Αὕτη δὲ ἡ ἀντωνυμία πρὸς διάφορον σημαινόμενον, τῇ μὲν ὀρθοτονεῖται, τῇ δὲ ἐγκλίνεται. αἱ πρωτότυποι δὲ ἐγκλίνονται οὕτως, οὐδεμία εὐθεῖα ἀντωνυμίας ἐγκλίνεται. τὰ γὰρ ῥήματα ἀναπληροῦσι τὴν χρείαν αὐτῶν ὡς δείκνυται ἐν τῷ περὶ ἀντωνυμίας. ἀντωνυμία ἐν ἀρχῇ ἐγκλίνεται οὐδεμία. βαρύτονος φύσει οὐκ ἐγκλίνεται.

Εἴπομεν δὲ φύσει βαρύτονος ὡς ὅτι εἰσί τινες κατὰ πάθος βαρυνόμεναι, καὶ ἐγκλινόμεναι, ὡς τὸ ἡμέων κατὰ διαίρεσιν, καὶ γὰρ ἐβαρύνθη οὐ φύσει, καὶ τὸ σέο δὲ ἀπὸ τοῦ σοῦ ἐνεκλίθη, ὥς σεο νῦν ἔραμαι, ἐν τοῖς δυϊκοῖς τοῦ πρώτου, καὶ δευτέρου προσώπου ἀεὶ ὀρθοτονοῦνται, ὅτι ἀεὶ βαρύνονται, κἂν περισπῶσι, νῶϊν, σφῶϊν, ὥσπερ τοὐναντίον εἴπομεν ἐπὶ τοῦ ἡμέων ὅτι ἐγκλίνεται, οὐ γὰρ φύσει βαρύνεται. ἐγκλίνονται δὲ ἀεὶ αἱ τοῦ τρίτου δυϊκαί. ἀλλ᾽ ἐπεὶ ἔσφωϊν κατελύσαμεν ὠκέας ἵππους. καὶ τίς τ᾽ ἄρ σφωε θεῶν ἔριδι. καὶ ἐν τοῖς πληθυντικοῖς τοῦ τρίτου προσώπου. σφίσι, σφέας, ἀναβιβάζεται ὁ τόνος τῇ τρίτῃ λέξει, ἐπεὶ οὔσφισι, καί σφεας φωνήσας. ἐπεὶ οὐ φύσει ἐβαρύνοντο, ἀλλὰ κατὰ πάθος. σφίν, σφίσιν. σφᾶς, σφέας. ἔφαμεν δὲ ὅτι ἐν τῷ α. καὶ β. προσώπῳ κἂν συστέλλωσι καὶ γίνονται δίχρονοι ἡμῖν, ἥμιν. ὑμῖν, ὕμιν. οὐκ ἀναβιβάζουσιν ἐν τῇ πρώτῃ λέξει, ἀλλ᾽ ἐν τῇ ἰδίᾳ ἀρχῇ ἔχουσι κλιτικήν, καὶ λέγεται ὑποστιγμήν, εἰ μήπω φιλοφρονητικὴ εἴη ἡ φράσις, πάτροκλέ μοι. φασὶ δὲ τὰς ἐχούσας χαρακτῆρα καταλήξεως μὴ ἐγκλίνεσθαι. ὡς ἡ ἐκεῖνος καὶ οὗτος, ἀλλὰ μόνον ἡ αὐτὸς κατὰ αἰτιατικὴν παρέβη. κόψαι γάρ αὐτὸν, οὐ καλός δέ τοι ὁ λόγος, ὡς γὰρ βαρύτονοι οὗται οὐκ ἐγκλίνονται, ἐκεῖνος ἐκείνου, οὗτος, τούτου. τὸ αὐτὸν ὀξύνεται. ἀλλὰ πρὸς τούτους φασὶν ὅτι ἡ αὐτοῦ αὐτῷ οὐκ ἐγκλίνονται, ἀλλ᾽ ὡς τετράχρονοι εἰς τὴν ἰδίαν ἀρχὴν τὸν τόνον ἀναπέμπουσι. πρὸς οὓς φαμὲν ὅτι διὰ τὸ μὴ συνεμπεσεῖν τοῖς αἰολεῦσι βαρυτόνως λέγουσι αὔτου καὶ αὔτῳ. ἡ δὲ αἰτιατικὴ οὐ συνέμπεσεν. ἐγκλινομένη γὰρ εἰς τὴν πρὸ αὐτῆς λέξιν τὸν τόνον ἀναπέμπει, κόψαι γάρ αὐτον ἔχοντα, τὸ αἰολικὸν εἰς τὴν ἀρχὴν, αὖτον. πάλιν αἱ ἔχουσαι ἐπιφορὰν τὴν ἐπιταγματικὴν ὀρθοτονοῦνται. σεαυτόν. σὲ δὲ αὐτὸν οὔ, ἀλλὰ σεαυτόν. εἰ μήπου ποιητικῶς ἐγκλιθῶσιν. ἀλλά οἱ αὐτῷ οὐκ ὤφειλον ἢ οἱ ἐγκλιθῆναι. ἔχει γὰρ τὴν ἐπιταγματικήν. τινὲς δέ φασιν καὶ ἵνα μὴ νομισθῇ ἄρθρον, ὅπερ ψεῦδές. ἀντωνυμία γὰρ περισπᾶται. οἱ δὲ ἄρθρον ὀξύνεται. ὥστε ποιητικῶς ἐνεγκλιθῶσιν αἱ λοιπαὶ ὥσπερ προείπομεν πρὸς διάφορον σημαινόμενον, ποτὲ μὲν ἐγκλίνονται, ποτὲ δὲ ὀρθοτονοῦνται. ἐγκλινόμεναι μὲν ἀπόλυτον σημασίαν σημαίνουσιν, ἀντιδιαστολὴν δὲ ὀρθοτονούμεναι. ἐὰν ὥσπερ προείπομεν προηγῶνται αἱ παραφυλακαί. ὀλίγαι δὲ παρέβησαν τὸν λόγον, οἷον ἔσαν. ἔνθ᾽ ἔσαν οἱ πέπλοι. καὶ πάλιν ἐνταῦθα, ἵνα μὴ νομισθῇ οἱ ἄρθρον, ὅπερ ἄκαιρον. ὡς εἴπομεν γὰρ ὁ τόνος διέστειλε. καὶ πάλιν ἵνά σφισιν ἀγορή τε θέμιστε. καὶ πάλιν ὅτε σφεας εἰσαφίκηται. ἦρχε δ᾽ ἄρα σφιν. αὗται παραλόγως ἐνεκλίθησαν μὴ προηγουμένων ἢ ὀξυτόνων, ἢ τροχαϊκῶν. καὶ παρὰ Καλλιμάχῳ τόξου σφεων τις ἄριστα κυδωνίου. σπονδεῖος γὰρ βαρύτονος προηγεῖται. παραλόγως οὖν ἐπὶ τούτων ἐπεκράτησεν ἡ ἔγκλισις. ταῦτα περὶ ἀντωνυμιῶν ἐν συντόμῳ.

Πολλοὶ δὲ τόποι εἰσὶν ὀρθοτονοῦντες, καὶ προηγουμένης τῆς ὀφειλούσης δέξασθαι τὴν ἔγκλισιν οἷον αἱ προθέσεις ὀξύνονται. καὶ ὅμως αἱ μετὰ τούτων ἀντωνυμίαι ὀρθοτονοῦνται. περὶ μοῦ. κατὰ σοῦ. μετὰ μοῦ, σὺν μοὶ, ὑπὲρ μοῦ. ὅθεν παρὰ μενάνδρῳ σημειοῦται τὸ πρός με ἐγκλιθέν. οἱ δὲ ἐξηγηταὶ ἀντὶ τοῦ τε προφέρονται, ἀντὶ πρὸς ἐμέ. αἱ μετὰ συμπλεκτικῶν, καὶ διαζευκτικῶν ὀρθοτονοῦνται. τὸ γὰρ ἢ μὲ ἀνάειρε τὸ ε συνεκράθη, μετὰ ἢ ἐμὲ ἢ μὲ καὶ τὴν ὀξεῖαν εἰς τὸ με φυλάττομεν. τὸ δὲ ὑπερστήτω μοι, ὑπερβατόν ἐστι, καὶ ὑποστήτω μοι, ὡς δείκνυμεν ἐν τῇ ἀντωνυμίᾳ. καὶ εὐλόγως ὀρθοτονοῦνται ἐπειδὴ ἀντιδιαστολὴν πάντα εἰσφέρουσιν αὗται αἱ συντάξεις, καὶ μετὰ οὕνεκα, καὶ ἕνεκα ὀρθοτονουμένη. εἵνεκα σοῦ. οὕνεκα σοῦ. εἵνεκεν σοῦ, κακῶς ἐγκλίνουσιν. ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

## ΕΝ ΕΠΙΡΡΗΜΑΣΙΝ.

Ὀλίγα δὲ καὶ ἐν τῷ ἐπιρρήματι ἐγκλίνονται, καὶ ὀρθοτονοῦνται,

τονοῦνται, ὥσπερ ἐπὶ τοῦ τὶς εἴπομεν, καὶ τοῦ τινός, καὶ τῶν ἄλλων. ὅτι ὀρθοτονούμενα πευσματικά εἰσιν, ἐγκλινόμενα δὲ ἀποφαντικῶς ἀόριστα. οἷον πόθεν ἦλθε; πεῦσμα. ἦλθέ ποθεν, ἀόριστον. πότε ἔγραψας; ἔγραψάς ποτε. ὁμοίως καὶ τὸ πόθι ἀντὶ τοῦ ποῦ, κατὰ τοῦ ἀπῆλθε; ἀπῆλθέ που, αἴ καί ποθι Ζεύς. καὶ ἔτι τὸ πῶς, πῶς ἦλθες; ἦλθές πως. καὶ τὸ πώ, οὔπω με γινώσκεις; καὶ τὸ πῆ ὁμοίως. ταῦτα δέ τινες τὰ μονοσύλλαβα, καὶ τὸ πόθι μετὰ τῶν αὐτῶν ἔλεγον κακῶς.

## ΕΝ ΣΥΝΔΕΣΜΟΙΣ.

Οἱ σύνδεσμοι ὁμοίως, ὁ τε, καί τε. ὁ γε. τοῦτό γέ μοι χάρισαι. ὁ περ, μὴ δ' οὕτως ἀγαθός περ ἐών. ὁ τοι. μήνύ τοι. ὁ ρα. ὅς ῥα, ὁ νυ, οὔ νύ μοι. ὁ θην. καί θην. ὁ κεν, ἢ καί κεν ἐλέγχιστος. ὁ οὖν μετὰ μόνης τῆς οὐ παραπληρωματικῆς ἐγκλίνεται, οὐκοῦν. συλλογιστικὸς δὲ ὢν ὀρθοτονεῖται. οὐκοῦν αἰσχρὸν τό δε. καὶ τὸ νυν ἐπίρρημα περισπᾶται, σύνδεσμος δὲ ὤν, καὶ συστέλλεται καὶ ἐγκλίνεται, πρῶτά νυν Ὀρφῆος μνησώμεθα. καὶ οὗτοι μὲν ὅτε ἔχουσι τὰς προηγουμένας λέξεις τὰς δεχομένας τοὺς τόνους, τοῦτό γε, ἄνδρα τε, εἰ δὲ μή, ὡς εἴπομεν ἐπὶ μονοσυλλάβων οὔτε ἀναβιβάζουσιν οὔτε ἀναφυλάττουσιν. οἷον τούτου γε οὐ δὲ εἰς τὸ του ἡ ὀξεῖα, οὐ δὲ εἰς τό γε, ἀλλ' εἰς τὴν πρώτην συλλαβήν, τούτου γε. οὐ γὰρ πιστέον τοῖς λέγουσι, ὅτι ἑκάστῃ λέξει ἀναπέμπουσι τὸν τόνον, ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

## ΠΕΡΙ ΕΓΚΛΙΝΟΜΕΝΩΝ, ΕΚ ΤΩΝ ΤΟΥ ΧΟΙΡΟΒΟΣΚΟΥ.

Ἐγκλίνονται ἤγουν ἀναβιβάσουσι τὸν τόνον ὅτε καλεῖ ἀπὸ τῶν τοῦ λόγου μερῶν πέντε, ὀνόματα, ῥήματα, ἀντωνυμίαι, ἐπιρρήματα, καὶ σύνδεσμοι. ὄνομα ἤτοι ὡς ὄνομα τὸ τίς, καὶ τούτου πτώσεις, καὶ οἱ ἀριθμοί, καὶ οὐδέτερον, τί. οἷον, οἰκός τις. ἔμαθόν τινος, ἦλθόν τινες, ἤκουσά τινων, ἔμαθόν τι, καὶ τὰ ἰσοδυναμοῦντα τούτοις, τὸ του καὶ τὸ τῳ, ἤκουσά του, δέδωκά τῳ, καὶ τὰ τοιαῦτα.

Ῥήματα τὸ εἰμί, φημί. ἁμαρτωλός εἰμι. ἐγώ φημι. τὸ δεύτερον φῄς, ἀνέγκλιτον, τὸ τρίτον φησὶν ἐγκλίνεται. αὐτός φησι καὶ τὰ πληθυντικά. αὐτοί φαμεν. τί φατε. τί φασι. καὶ τὰ πληθυντικὰ τοῦ εἰμί. ἄνθρωποί ἐσμεν. ἄνθρωποί ἐστε, ἄνθρωποί εἰσιν.

Καὶ τῶν ἀντωνυμιῶν ἐκεῖναι. ἔδωκάς μοι, ἔτυψάς με. ἤκουσά σου, καί οἱ ἐπευχόμενοι καί μιν φωνήσας. μετὰ δὲ τοῦ ἕνεκε τὸν οἰκεῖον φυλάττουσι τόνον ταῦτα. ἕνεκα σοῦ, ἕνεκα ἐμοῦ, καὶ μετὰ προθέσεων περὶ σοῦ διὰ σέ, καὶ τὰ τοιαῦτα.

Ἐπίρρημα τὸ ποτέ, οἷον σύ ποτε, ἐγώ ποτε. καὶ τὸ ποθέν, οἷον ἦλθέ ποθεν καὶ τὸ πώς, πή, πού, τὰ ὡς ἐπιρρήματα, ἦλθέ πως, ἀπῆλθέ που, ἀνεχώρησέ πη.

Σύνδεσμοι δὲ ἐγκλίνονται, μέν. δέ, τε, γάρ, οἷον ἐγώ μεν, σύ δε, αὐτός τε, ἄλλοι γὰρ καὶ τὰ τοιαῦτα. ἐκεῖνο δὲ παραφυλακτέον ὅτι ἐὰν σπονδειακὴ προκεῖται λέξις, ἤγουν δισύλλαβος, τὸν ἴδιον φυλάττει τόνον, οἷον ἤδη φαμέν. οὕτως ἐστίν, οὕτω ποτέ. καὶ τὰ ὅμοια.

## ΚΑΙ ΑΛΛΩΣ ΠΕΡΙ ΕΓΚΛΙΝΟΜΕΝΩΝ.

Ἰστέον ὅτι τὰ ἐγκλινόμενα εὑρίσκεται ἐν ὀνόμασι καὶ ἀντωνυμίαις καὶ ῥήμασι, καὶ ἐπιρρήμασι, καὶ συνδέσμοις.

ΕΝ ΟΝΟΜΑΣΙ μὲν τὸ τὶς ἐν πάσαις ταῖς πτώσεσιν. ἄνθρωπός τις. ἄνθρωποί τινες. ἐν δὲ ἀντωνυμίαις τὰ σημαίνοντα ἀπόλυτα πρόσωπα. ἤκουσάς μου, ἔδωκάς μοι.

Ἐν δὲ ῥήμασι, τὸ εἰμί, φημί, καὶ ἐστί, καὶ τὰ ὅμοια τούτων. οἷον Ἀρκεσίλαόν φημι, Ὅμηρός ἐστιν. ἐν δὲ τοῖς ἐπιρρήμασιν τὰ ἀνταποδοτικὰ τῶν πευστικῶν, οἷον ποτέ, πότε. ποθέν, πόθεν. ποθί, πόθι. ἐάν ποτε ἐάν ποθεν. αἴ κε ποθε. μή ποτε. μή ποθεν.

Ἐν δὲ τοῖς συνδέσμοις ἐγκλίνονται, ὁ τε, ὁ νυ, ὁ που, ὁ θην, ὁ γε, ὁ τοι, καὶ ὁ περ οἷον καί τε πόλιν ἐσάωσε. καὶ οἱ δέ νυ λαοί. καὶ οὔπω που Διὶ μέλει. καὶ οὔ θην ἔκδει. καὶ μή τί ἔμοι γε σήμαινε. καὶ οὔ τοι ἀπόβλητ' ἐστί. καὶ ἀγαθός περ ἐών. Ἰστέον δὲ ὅτι ἡνίκα ἐστὶ λέξις τετράχρονος οὐκ ἀναπέμπει τῇ προηγουμένῃ τὸν τόνον, ἀλλὰ τῇ προηγουμένῃ συλλαβῇ, οἷον ἄνθρωπος ἦμεν. ἔτυψας ἡμᾶς ἐπειδὴ οὐδέ ποτε πρὸ τεσσάρων χρόνων τόνος πίπτει.

Ἐὰν δὲ εὑρεθῇ λέξις τρίχρονος, ἢ δίχρονος, ἢ μονόχρονος, τότε ἀναπέμπει τῇ προηγουμένῃ λέξει τὸν τόνον κατὰ διαίρεσιν, ἡνίκα εὑρεθῇ προηγουμένη λέξις ἢ τροχαϊκὴ ἀπὸ τόνου ὡς ἐπὶ τοῦ τυφθέντα. ἀπὸ γὰρ τόνου ἀναποδίζων τὴν λήγουσαν τροχαῖον εὑρίσκει. ἢ προπερισπωμένη μὴ ἔχουσα τὴν τελευταίαν θέσει μακράν. ἢ περισπωμένη, ἢ προπαροξύτονος, ἢ παροξύτονος, τότε ἀναπέμπει τῇ προηγουμένῃ λέξει. οἷον, τυφθέντά τε. γυναῖκές εἰσι. πῶς τε, Ἀρκεσίλαός τε, Ὅμηρός ἐστι. πρόσκειται δὲ μὴ ἔχουσα τὴν τελευταίαν, θέσει μακρὰν διὰ τὸ φοῖνιξ, καὶ κῆρυξ. τούτων γὰρ προηγουμένων οὐ γίνεται ἔγκλισις οἷον φοῖνιξ ἐστί. κῆρυξ ἐστί. ἐὰν δὲ εὑρεθῇ λέξις ὀξύτονος ἢ περισπωμένη προηγουμένη τοῦ ἐγκλιτικοῦ φυλάττεται ἡ ὀξεῖα καὶ ἡ περισπωμένη. οἷον Ζεύς, Ζεύς τε καλῶς, καλῶς μοι. σαφῶς, σαφῶς γε.

Κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα λέξις ὀξύτονος πολλάκις ἐν τῇ συνεπείᾳ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν χωρὶς τοῦ τίς, ἐπεὶ πάντοτε φυλάσσει τὴν ὀξεῖαν. οἷον τίς, πόθεν εἶς ἀνδρῶν; δεῖ δὲ προσθεῖναι τῷ κανόνι, χωρὶς εἰ μὴ ἐπιφέρηται στιγμή, ἢ ἐγκλιτικόν. τότε γὰρ οὐ κοιμίζεται ἡ ὀξεῖα εἰς βαρεῖαν, εἰ δὲ πρὸ τοῦ ἐγκλιτικοῦ εὑρεθῇ λέξις πυρριχιακὴ ἀπὸ τόνου, δηλονότι ἐπὶ τὴν λήγουσαν. ὡς ἐπὶ τοῦ πολλάκις. ἢ ἰαμβικὴ ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ μεταμέλει. ἢ σπονδειακὴ ἀπὸ τόνου ὡς ἐπὶ τοῦ ἀτρείδης. καὶ ἐπιφέρωνται δισύλλαβα ἐγκλιτικά, φυλακτικὰ γίνονται τῶν ἰδίων τόνων. ὡς ἀτρείδης ἐστί. μεταμέλει ἡμῖν. πολλάκις εἰσί.

Δεῖ δὲ προσθεῖναι χωρὶς τῶν ἀπὸ τοῦ σφι ἀρχομένων ἀντωνυμιῶν. αὗται γὰρ ἀναπέμπουσι τὸν τόνον τῇ προηγουμένῃ λέξει. οἷον ἀτρεκής σφισι. πολλάκις σφεας. εἰ δὲ μὴ ἔστι δισύλλαβα ἀλλὰ μονοσύλλαβα τῷ νῷ μόνῳ γίνεται ἡ ἔγκλισις. μεταμέλει μοι. πολλάκις τις. ἀτρεκής τε. ταῦτα γὰρ οὔτε τὸν ἴδιον τόνον δύνανται φυλάττειν οὔτε ἀναπέμπουσι τῇ προηγουμένῃ λέξει.

Γίνωσκε δὲ ὅτι οὐδὲν προτακτικὸν ἐγκλίνεσθαι δύναται. τίνι γὰρ παραπέμψωσι τὸν ἴδιον τόνον; ἀλλ' οὐδὲ τὰ ἔχοντα προηγουμένην στιγμήν. πῶς γὰρ διαζεύξεως προηγουμένης ἔγκλισις γένηται; καὶ τούτου χάριν τὰ ἄρθρα οὐκ ἐγκλίνονται, οὐδὲ τὰ βαρυνόμενα αὐτὰ καθ' ἑαυτὰ ἐν τῇ συντάξει δύνανται ἐγκλίνεσθαι. ἔτι τὰ ἐγκλινόμενα κατὰ τὴν εὐθεῖαν, καὶ κατὰ τὰς ἄλλας πτώσεις ἐγκλίνεσθαι δύνανται. διὸ οὔτε αἱ προθέσεις, οὔτε αἱ μετοχαὶ ἐγκλίνεσθαι θέλουσιν. ἔτι τὰ ὀξυνόμενα ῥήματα ἐγκλίνονται καὶ τὰ ἐγκλινόμενα κατὰ τὸν ἐνεστῶτα οὐ πάντως κατὰ τὰ λοιπὰ ἐγκλίνονται.

Ἐν γὰρ τοῖς ῥήμασι τάδε μόνον ἐγκλίνονται· εἰμί. εἶς. εἶ δὲ ἀνέγκλιτον. ἐστί. ἐστόν. ἐσμέν. ἐστέ. εἰσίν. φημί. φῂς δὲ ἀνέγκλιτον. φησί. φαμέν. φατέ. φασί.

Πᾶν ἐγκλινόμενον μόριον, ἢ ὀξύνεται, ἢ περισπᾶται, οὐδέποτε δὲ βαρύνεται. πέντε γάρ εἰσιν ἀπὸ τῶν τοῦ λόγου μερῶν τὰ ἐγκλινόμενα. ὄνομα. ῥῆμα. ἀντωνυμία. ἐπίρρημα. σύνδεσμος.

Πάλιν τῶν ἐγκλινομένων, τὰ μὲν ἕνεκεν κόσμου ἐγκλίνεται ὡς τὰ ῥήματα καὶ οἱ σύνδεσμοι, τὰ δὲ σημασίας, ὡς τὰ λοιπά.

Ἐν μὲν ὀνόμασι, τὸ τὶς μόνον ἐγκλίνεται. καὶ αἱ αὐτοῦ πτώσεις, καὶ οἱ ἀριθμοί, καὶ τὸ οὐδέτερον. οἷον ἄνθρωπός τις. ἤκουσά τινος, ἔδωκά τινι, ἐδίδαξά τινα. καὶ ἐπὶ τῶν λοιπῶν, ὡσαύτως καὶ ἰσοδυναμοῦντα τούτοις. τὸ τοῦ καὶ τὸ τῷ. ἤκουσά του λέγοντος. ἀντέλεξά τῳ φράσαντι. ταῦτα δὲ ἐγκλινόμενα ἀόριστά ἐστι. τὸν δὲ κατὰ φύσιν τόνον ἔχοντα πευσματικὰ γίνεται. πόθεν. τίς. τίνος. τίνι. τίνα. καὶ τὰ πληθυντικὰ τούτων. τίνες. τίνων. τίσι. τίνας.

Ἐν δὲ ῥήμασιν ἐγκλίνεται τὸ εἰμί, καὶ φημί. ἐγώ εἰμι. ἐγώ φημι. ἄνθρωπός φησιν. ἔσθ' ὅτε καὶ πληθυντικά. ἐκεῖνός φαμεν, ἦ φατε, ἦ φασιν. ἔτι καὶ τὸ εἰμί, ἄνθρωπός εἰμι, καὶ τὸ ἐστίν, ἄνθρωπός ἐστιν. τοῦτο δὲ τὸ ἐστὶν ἐν ταῖς ἀρχαῖς τῶν λόγων βαρύνεται. ἔστι πόλις ἐφύρη, καὶ μετὰ τοῦ ὡς ἐπιρρήματος. ὡς ἔστιν εἰπεῖν. καὶ μετὰ τοῦ ἀλλά. ἀλλ' ἔστι, καὶ μετὰ τοῦ τοῦτο, τοῦτ' ἔστι, καὶ μετάγεται εἰς ἐπίρρημα τουτέστι, καὶ μετὰ τοῦ καί, καὶ ἔστι, καὶ μετὰ τοῦ οὐκ. οὐκ ἔστι, καὶ ἐστὸν δυϊκὸν ἐγκλίνεται. καλῶ ἐστον καὶ τὰ πληθυντικά. ἄνθρωποί ἐστε, ἄνθρωποί εἰσιν.

Αἱ ἀντωνυμίαι τοῦ πρώτου προσώπου ἐγκλίνονται, καὶ τὸ κατ' ἀρχὴν ε ἀποβάλλουσιν, ἤκουσάς μου, ἔδωκάς μοι, ὕβρισάς με. αἱ δὲ τοῦ δευτέρου καὶ τρίτου προσώπου οὐδεμίαν στοιχείου ποιοῦνται ἀποβολήν, ἤκουσά σου, ἔδωκά σοι, ἐδίδαξά σε, ὕβρισά σε. καὶ οἱ ἐπευχόμενοι θαρρῆσαι ἐκέλευε. καί μιν φωνήσας. αἱ δυϊκαὶ τοῦ πρώτου, καὶ δευτέρου προσώπου οὐκ ἐγκλίνονται διὰ τὴν βαρεῖαν τάσιν. νῶϊ νῶϊν. σφῶϊ, σφῶϊν. προπερισπῶνται γάρ. αἱ δὲ τοῦ τρίτου ὀξυνόμεναι, ἐγκλίνονται. τίς τ' ἄρ σφωε θεῶν, καί σφωϊν δὸς ἄγειν. καὶ τὰ πληθυντικὰ ἐπεὶ ἐγκλίνονται τὴν πρώτην συλλαβὴν ὀξύνουσιν. ἤκουσας ἥμων λαλούντων. ἔδωκας ἥμιν. καὶ αἱ τοῦ τρίτου πληθυντικαὶ ὀξύνονται σφῶν. σφῖν. σφᾶς. καὶ σφων. καὶ σφιν. καὶ σφεας. καὶ εὔλογον οἶμαι λέγειν. ὅτι μετὰ τὴν ἔγκλισιν τὸ πάθος ἐπηκολούθησεν.

Ἐν δὲ τοῖς ἐπιρρήμασιν ἐγκλίνεται τὰ ὑποκείμενα. πῶς. ποτέ. ποθέν. ποθί. καὶ τὰ ὑποδείγματα δῆλα. πῶς ἦλθες; ἦλθές πως. πῆ ἦλθες; ἦλθές πη. πόθεν ἦλθες; ἦλθές ποθεν. πόθι ἦλθες; ἦλθές ποθι. ταῦτα πευσματικὰ ὄντα βαρύνεται. ἀόριστα δὲ ὀξύνονται. καὶ ἐν τῇ συντάξει ὑποτασσόμενα ἐγκλίνονται.

Ἐν δὲ συνδέσμοις ἐγκλινόμενοί εἰσιν οἵδε. τέ. πέρ. τοί. γέ. θήν. καί περ. καί τοι. καί γε. τὸ τό γε. ἤμιν. οὔ θην. αἴ κε. σκῶλόν τε. διὸ σημειοῦνται τὸ ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι. παραλόγως γὰρ ἐνεκλίθη ἡ οἱ ἀντωνυμία πυρριχίου προκειμένου. σημειοῦνται καὶ τὰς διὰ τοῦ σφι ἀντωνυμίας, καὶ αὗται πυρριχίου ὄντος ἐγκλίνονται ἵνα σφ' ἀγορήτε θέμις ὅτι σφεας εἰσαφίκητε.

Εἰ μέντοι προπαροξύνοιτο ἡ προκειμένη λέξις τῶν ἐγκλιτικῶν μορίων ἐγείρει τὴν ἐν τῷ τέλει αὐτῆς βαρεῖαν. ἄνθρωπός τις, κἂν παροξύνοιτο τροχαϊκὴ οὖσα. ἄλλός τις. ἐστί τις. ἔνθά ποτε. ἐπὶ ὀξυνομέναις λέξεσι. βαρυνόμεναι δὲ διὰ τὴν συνέπειαν ἐγκλιτικοῦ ἐπιφερομένου, τὴν βαρεῖαν ἐγείρουσιν. αὐτὸς. αὐτός μοι. εἰ δὲ περισπᾶται ἡ λέξις, φυλάττεται πάλιν ἡ περισπωμένη, πῶς ποτε πῆ με φέρεις, καλῶς με βεβίακεν. ἐὰν δύω πλείονα συμβῇ ἐφεξῆς ἐγκλιτικὰ εἶναι, πολλαὶ ἔσονται καὶ αἱ ὀξεῖαι. ἦ. νύ σέ που δέος ἴσχει ἀκήριον. τρεῖς εἰσὶν ἐφεξῆς αἱ ὀξεῖαι. δυνατὸν δὲ καὶ πλείονας ἐπινοῆσαι. εἴπερ τίς σέ μοί φησί ποτε. τὸ μέντοι εἰ ὀξύνεται διὰ τὴν ἐπιφορὰν τοῦ ἐγκλιτικοῦ περ. τὸ δὲ περ διὰ τὸ τις. τὸ δὲ τις διὰ τὸ σε. τὸ δὲ σε διὰ τὸ μοι. τὸ δὲ μοι διὰ τὸ φησι. τὸ δὲ φησι διὰ τὸ ποτε. ὥστε ἐφεξῆς ὀξεῖαι ἕξ. εἰ καὶ πάνιον διὰ τὴν τοῦ πνεύματος συνέχειαν. κἀκεῖνο δὲ παραφυλακτέον, ὅτι τῶν ἐγκλινομένων, ἡ σπονδειακὴ προηγεῖται λέξις, ἢ πυρριχιακή, εἰ μὲν μὴ μονοσύλλαβον εἴη τὸ ἐπιφερόμενον μόριον, τότε τὸ ἴδιον δέχεται τόνον, οὔτε δυνάμει, οὔτε ἐνεργείᾳ ἐγκλινόμενον ἤδη φαμέν, ὀξύνομεν γὰρ τὸ φαμέν. φίλοι εἰσίν, ὁμοίως δὲ καὶ τὸ εἰσὶν ὀξύνομεν.

ΤΕΛΟΣ.

# ΤΕΟΔΩΡΟΥ ΠΕΡΙ ΜΗΝΩΝ.

Πρὸ ἔργου μὲν καὶ τὸ τὰς ὀνομασίας εἰδέναι τῶν μηνῶν, καὶ τάξει χρῆσθαι ὡς ἀθηναῖοι ἦγον. οὐ ῥᾴδιον δὲ τοῦτο λαβεῖν. τῶν τε γὰρ πρότερον καὶ τῶν καθ' ἡμᾶς δὴ ἐλλογίμων, οἱ μὲν οὐδὲν περὶ τάξεως καὶ χρείας ἔφασαν τούτων. οἱ δὲ τάξιν μέν τινα ἀποδεδώκασι, τὸ ἐφεξῆς οἰόμενοι λέγειν. πόῤῥω δ' ἀποπλανώμενοι τοῦ ὀρθοῦ, ἐλέγχονται φανερῶς. αὐτοὶ δ' ἑρμηνεύοντες, ὅστις μὲν ἑκατομβαιὼν τῶν μηνῶν. ὅστις δὲ ποσειδεών. καὶ τῶν λοιπῶν ἕκαστος ὡς ἐφαρμόττοι πρὸς τὰ ὀνόματα τῶν μηνῶν καθάπερ ἄγουσι ῥωμαῖοι τοὺς χρόνους, οὐδὲν ὅτι καὶ ὑγιὲς εἰπεῖν ἀποδεδώκασιν. οὐ δὲ δὴ συνῳδά γε ἀλλήλοις φασίν. ἀλλ' ὁ μὲν μάρτιον λέγει τὸν ἑκατομβαιῶνα. ὁ δὲ ἰούλιον. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων διαφωνοῦσιν ἀλλήλοις ἅμα καὶ διαμαρτάνοντες ἕκαστοι τἀληθοῦς.

Καὶ πλήθων δ' ἐφ' ἡμῶν ἀνὴρ τῶν ἐπιφανῶν χαλεπὸν ἡγούμενος εὑρεῖν τὸ ἀνάλογον τούτοις, εἶτα ἐπιζητεῖν. κἀν τοῖς περὶ νομοθεσίας δὴ λόγοις περὶ ἡμερῶν, καὶ μηνῶν, καὶ ἐνιαυτοῦ ὑφηγούμενος, οὐκ ὀνομάζει ὡς ἀττικοὶ ἦγον τοὺς μῆνας. καίτοι τ' ἄλλα τὰ περὶ τὴν φωνὴν ἕπεσθαι προθυμούμενος ἀττικοῖς, καὶ σφόδρα περὶ τοῦτο σπουδάζων. ἀλλ' ὅπερ ἂν ὁ τυχὼν εἴποι, ἁπλῶς οὗτος ἐκ τοῦ συμβεβηκότος καλεῖ. τὸν μὲν πρῶτον. τὸν δὲ δεύτερον, καὶ τοὺς ἄλλους ὁμοίως ὡς ἕκαστος ἔχει τάξεως πρὸς τὸν πρῶτον. καθάπερ εἴ τις τοὺς τῆς χειρὸς δακτύλους ὀνομάσαι ἐθέλων, οὐ τὸν μὲν καλεῖ μέγαν ἢ ἀντίχειρα. τὸν δὲ λιχανόν. τὸν δὲ μέσον. καὶ τοὺς λοιποὺς ὡσαύτως. ἀλλ' ὑπ' ἀπορίας τῶν ἑκάστοις κειμένων γε ὀνομάτων, πρῶτον, καὶ δεύτερον, καὶ τρίτον προσαγορεύει. ἔοικε δὲ μὴ δὲ τοῖς πολὺ πρόσθε ῥᾴδιον εἶναι, ὅτε δὴ καὶ Πολυδεύκης τὰ ὀνομαστικὰ Καίσαρι κομμόδῳ συγγεγραφὼς, τὰς μὲν ἡμέρας τοῦ μηνὸς ὅπως ἀριθμητέον τε, καὶ ὀνομαστέον λέγει. εἰ μὴ καὶ καλῶς. τοὺς μῆνας δ' αὐτοὺς παρασιωπῶν ἀπολείπει. χρῆν δὲ καταριθμῆσαι καὶ τούτους ὀνομάζοντα, καὶ διασαφοῦντα εἴπερ ᾔδει. ἄλλως τε καὶ κόμμοδον τῶν ἑτερογλώττων τινὰ ἀττικίζειν διδάσκοντα τὴν φωνήν. ἔστι μὲν οὖν οὐ ῥᾴδιον ἀποδοῦναι τοῖς ῥωμαίων ὀνόμασι τὰ τῶν ἀθηναίων περὶ τοὺς μῆνας, καὶ τὴν προσήκουσαν τάξιν εὑρεῖν. οὐ μὴν ἀλλὰ ζητητέον καὶ τῶν ἐν ταῖς πραγματείαις διαφόροις μνημονευσάντων μηνός του, τὰ λεγόμενα ἐπισκεπτέον. καὶ ἐκ πλειόνων συλλογιστέον διορίζοντας ἐφ' ὅσον διακριβοῦσθαι καὶ περὶ τῶν τοιούτων ἂν εἴη. ὅπως ἂν ἑλληνικοῖς ὀνόμασι τῶν μηνῶν ἔχωμεν χρῆσθαι ἑλληνικῶς φράζοντες, ἀλλὰ μὴ ὀθνεῖα παραμιγνύντες, ξενίζωμεν περὶ τὴν πατρῴαν φωνὴν, καὶ ἐκμελῆ τὸν λόγον ποιῶμεν. φιλοσόφου δὲ καὶ τὸ περὶ τούτου ἐσκέφθαι. τῆς αὐτῆς γὰρ ἐπιστήμης ἐστὶν, ὀρθῶς τε τοῖς κειμένοις χρῆσθαι ὀνόμασι, καὶ μηδὲν ἀλλοεθνὲς ἐπιπολάζειν τοῖς οἰκείοις ἐᾶν. ὥσπερ ἀμέλει καὶ τὰ μὲν μὴ ὑπάρχοντα νομοθετεῖν. τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι. οὕτω γὰρ ἂν ἑκάστη τῶν ἐπιστημῶν βέλτιον τὸ αὐτῆς ἔργον ἀποτελοῦσα συμβάλλοιτο εἰς τὴν πολιτικὴν κοινωνίαν. μάλιστα δὲ, αἱ περὶ τοὺς λόγους.

## ΜΗΝΕΣ ΑΘΗΝΑΙΩΝ.

Δώδεκα μὲν τοίνυν τὸν ἀριθμὸν εἶναι ὀνόματα μηνῶν ταῦτα ὡς ἀθηναῖοι ἦγον, πάντες ὁμολογοῦσι.

Μουνιχιῶνα.
Θαργηλιῶνα.
Σκιροφοριῶνα.
Ἑκατομβαιῶνα.
Μεταγειτνιῶνα.
Βοηδρομιῶνα.
Μαιμακτηριῶνα.
Πυανεψιῶνα.
Ανθεστηριῶνα.
Ποσειδεῶνα.
Γαμηλιῶνα.
Ελαφηβολιῶνα.

Περὶ δὲ τάξεως, καὶ τοῦ ἐφεξῆς ἡ διαφορά τε καὶ ἀμφισβήτησίς ἐστι. πρὸς δὲ καὶ περὶ τοῦ πῶς δεῖ μεταφέροντας εἰς τὴν λατίναν φωνὴν, ὀνομάζειν. πρῶτον δὴ περὶ τάξεως καὶ τοῦ ἐφεξῆς τούτων. ἔπειτα περὶ ἑρμηνείας θεωρητέον. δοκεῖ γὰρ ὥσπερ στοιχεῖον ἑρμηνείας οὖσα τούτων ἡ τάξις. καὶ τὰ πολλὰ ἴσως τῶν πρὸς τὴν ἑρμηνείαν τεινόντων, δέοι ἂν λαμβάνοντας ἐκ τῶν τῆς συντάξεως οἰκείων, δεικνύειν. μετὰ δὲ ταῦτα περὶ χρείας ῥητέον. τούτου γὰρ ἕνεκα καὶ τὴν τάξιν εἰδέναι μάλιστα προαιρούμεθα. καὶ πρὸς τούτοις εἴ τι ἄλλο πως οἰκεῖον τῇ σκέψει τῇδε ἐστὶ προσληπτέον, βραχύ τι συμπεριλαμβάνοντας. ἵνα μὴ τοῦ ἔργου μεῖζον τὸ πάρεργον, γίνηται.

## ΠΕΡΙ ΤΑΞΕΩΣ ΤΩΝ ΜΗΝΩΝ.

Εἰλήφθω τοιγαροῦν μὴν ὁ τυχὼν πρῶτος τῷ λόγῳ. ἔστω δὲ εἰ δοκεῖ ποσειδεών. μετὰ ποσειδεῶνα δὴ εὐθὺς γαμηλιών. μάρτυρες δὲ τούτου, Ἀριστοτέλης τε καὶ Θεόφραστος ἄνδρες παλαιᾶς μνή-

μης καὶ ἐμπείρως ἔχοντες τῆς ἀθηναίων φωνῆς. δεῖ τε μὴ ἀμάρτυρα φάσκειν ὡς οἱ πρὸ τοῦ, θέσεις πρὸς τῷ ψευδεῖ, καὶ ἀδεσπότους ἀποδεδωκότι λέγοντες περὶ τούτων. ἀλλ᾽ ἐφ᾽ ἑκάστοις μάρτυρας παρέχεσθαι ἄνδρας ἀξιοπίστους. ὥσπερ ἐν δικαστηρίῳ. πᾶν γὰρ τὸ ἐν τούτοις πιστὸν, οὐκ ἐκ τεκμηρίων καὶ λόγων τοιούτων, ἀλλ᾽ ἐξ ὧν τινες τῶν ἐνδόξων εἰπόν ἐστι. τούτων δὴ ὁ μὲν ἐν τῇ περὶ τὰ ζῷα ἱστορίᾳ, ὧδε λέγει. Η δὲ θυννὶς ἅπαξ τίκτει. ἀλλὰ διὰ τὸ τὰ μὲν πρώϊα τὰ δὲ ὄψια προΐεσθαι, δὶς δοκεῖ τίκτειν. ἔστι δὲ ὁ μὲν πρῶτος τόκος περὶ τὸν ποσειδεῶνα πρὸ τῶν τροπῶν. ὁ δ᾽ ὕστερος τοῦ ἔαρος. θεόφραστος δὲ ἐν τῇ περὶ τὰ φυτὰ ἱστορίᾳ, ἀρχὴν εἶναι φησὶ τοῦ δευτέρου τῶν ἀρότων μεθ᾽ ἡλίου τροπὰς χειμερινὰς τοῦ γαμηλιῶνος μηνός. ἔχει δὲ ἡ λέξις αὐτοῦ ὧδε. Καλοῦσι δὲ οὕτως, οὐ πρὸς τὴν σποράν βλέποντες, ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν ἑκάστου. ἐπεὶ ἥγε σπορὰ, σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται. χειμερινοῦ γὰρ ἀρχὴ μετὰ τροπὰς θερινὰς τοῦ μεταγειτνιῶνος μηνός. καλοῦσι δὲ τοῦτον πρῶτον τῶν ἀρότων. τοῦ δὲ δευτέρου πάλιν, μεθ᾽ ἡλίου τροπὰς χειμερινὰς τοῦ γαμηλιῶνος μηνός.

Εἰ δὴ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. καὶ γαμηλιῶνος μετὰ τροπὰς, γαμηλιῶνα μετὰ ποσειδεῶνα εἶναι ἀνάγκη. ὡς δὲ καὶ ἐφεξῆς, συμφανὲς ἐκ τοῦ προκειμένου, καὶ τῆς φράσεως τοῦτ᾽ ἀκούειν χρεών. ὁ γὰρ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν λέγων καὶ γαμηλιῶνος μετὰ τροπὰς, ἤτοι περὶ τὸν ὀνομαζόμενον μῆνα τὰς τροπὰς εἶναι βούλεται, ἢ περὶ τὸν ἐγγύτατά γε δηλοῦν. ὅτι δὲ καὶ χειμερινὸς αὖ ὁ ποσειδεὼν, δῆλον ἐξ ὧν Αριστοτέλης ἐν τῇ αὐτῇ ἱστορίᾳ διευκρινεῖ περὶ ἰχθύων τῶν καλουμένων κεστρέων. εἰπὼν γὰρ πρόσθεν ὅτι χειμῶνος ὁ κεστρεὺς τίκτει. μετὰ ταῦτα καὶ τὸν μῆνα περὶ ὃν τίκτει ὀνομάζει λέγων, ὅτι ποσειδεῶνος. ἄμφω δὲ ταῦτα ἐν τῷ πέμπτῳ τῆς ἱστορίας ἐστὶ τῇδε τῇ λέξει. Τίκτει δ᾽ ἔνια καὶ χειμῶνος, καὶ θέρους. χειμῶνος μὲν λάβραξ. κεστρεύς. βελόνη. θέρους δὲ, περὶ τὸν ἑκατομβαιῶνα θυννίδες. εἶτα ἄρχονται δὲ τίκτειν τῶν κεστρέων, οἱ μὲν χέλωνες τοῦ ποσειδεῶνος. καὶ ὁ μύξων καλούμενος καὶ ὁ κέφαλος. κυοῦσι δὲ τριάκοντα ἡμέρας. τοῦτο δ᾽ αὐτὸ πάλιν καὶ ἐν τῷ ἑβδόμῳ φησίν. ἅμα δὲ δῆλον ὅτι καὶ τροπικὸς ὁ ποσειδεών. εἰ γὰρ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. χειμερινὸς δ᾽ ὁ ποσειδεὼν, φανερὸν ὅτι περὶ ποσειδεῶνα αἱ τροπαί. περὶ γὰρ πρῶτον μῆνα τῶν χειμερινῶν, γίνονται αἱ τροπαί. καὶ ἡ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. ῥῆσις ἄρα, τὸ πότε τοῦ μηνὸς διορίζει. ὡς καὶ μετὰ τροπὰς γινομένου τοῦ περὶ τὸν αὐτὸν μῆνα περὶ ὃν αἱ τροπαί. οὐ μὴν, ἀλλὰ καὶ τῶν ὀρνίθων ἀλκυών. τίκτει μὲν περὶ τροπὰς χειμερινάς. διὸ καὶ καλοῦνται ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαί, ἀλκυόνειαι ἡμέραι. ἑπτὰ μὲν πρὸ τροπῶν, ἑπτὰ δὲ μετὰ τροπάς. καθάπερ καὶ Αριστοτέλης φησί. καλεῖται δὲ ποσειδεωνὶς τοῖς πολλοῖς ἡ ὄρνις. παρὰ τοῦ τῶν ἀστείων ὡς ἔοικε τοὔνομα εἰληφόσι παρὰ τὸ τίκτειν ποσειδεῶνος μηνὸς ὥς τε σημεῖον καὶ τοῦτ᾽ ἂν εἴη τροπικὸν εἶναι τὸν ποσειδεῶνα καὶ τῶν χειμερινῶν πρῶτον.

Νῦν μὲν οὖν ἐκ τούτων εἰλήφθω χειμερινόν τε καὶ τροπικὸν εἶναι τὸν ποσειδεῶνα. ὕστερον δὲ καὶ δι᾽ ἀκριβείας μᾶλλον δειχθήσεται. τὴν δ᾽ ἀκρίβειαν οὐχ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν δεῖ, ἀλλ᾽ ἐν ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην καὶ ἐπὶ τοσοῦτον, ἐφ᾽ ὅσον οἰκεία τῇ μεθόδῳ. Μετὰ δὲ γαμηλιῶνα, εὐθὺς ἐλαφηβολιών. τελευταῖος γὰρ μηνὸς τῶν χειμερινῶν δεῖ. οὗτοσὶ δὲ τελευταῖος. σημεῖον δέ. θουκυδίδης γὰρ ἐν τετάρτῃ τῶν ἱστοριῶν τὴν ἐνιαύσιον ἐκεχειρίαν τὴν γενομένην λακεδαιμονίοις καὶ ἀθηναίοις, τελευτῶντος ὀγδόου ἔτους τῷ πολέμῳ. τετράδι ἐπὶ δέκα τοῦ ἐλαφηβολιῶνος μηνὸς ὁμολογεῖσθαι φησί. τὴν δ᾽ αὐτὴν ἐκεχειρίαν καὶ διελθόντος τοῦ χειμῶνος, ἅμα ἦρι τοῦ ἐπιγινομένου θέρους γεγονέναι. κἀν τῇ πέμπτῃ δ᾽ αὖ τῶν αὐτῶν ἱστοριῶν, σπονδὰς γενέσθαι φησὶν ἐπὶ ἄρχοντος ἀθήνησιν Αλκαίου. ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. τὰς δ᾽ αὐτὰς σπονδὰς, καὶ τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι γενέσθαι φησίν. Ἔτι δ᾽ Αριστοτέλης τῶν θηρίων τὴν ἄρκτον ἱστορεῖ τὴν ὀχείαν ποιεῖσθαι τοῦ μηνὸς τοῦ ἐλαφηβολιῶνος. κυεῖν δὲ ἡμέρας τριάκοντα. καὶ τίκτειν περὶ τὸν καιρὸν ὃν φωλεῖ. ὅταν δὲ ἐκθρέψῃ τρίτῳ μηνὶ, ἐκβαίνειν ἤδη τοῦ ἔαρος. ταῦτα δ᾽ εἰπὼν ἐν ἑβδόμῳ, πάλιν ἐν ὀγδόῳ φησὶ τὴν ἄρκτον ἐντίκτειν περὶ τοῦτον τὸν καιρόν. καὶ φωλεῖν ἕως ἂν ὥρα ᾖ ἐξάγειν τοὺς σκύμνους. τοῦτο δὲ ποιεῖν τοῦ ἔαρος περὶ τρίτον μῆνα ἀπὸ τῶν τροπῶν. ὥστ᾽ ἐάν τε τίκτειν ἀπὸ τροπῶν χειμερινῶν περὶ τρίτον μῆνα, ἐάν τε ἐξάγειν ἀπὸ ἐαρινῆς ἰσημερίας περὶ τρίτον ἀκούειν δέῃ, κατ᾽ ἄμφω δὲ, τὸν ἐλαφηβολιῶνα γε μῆνα τελευταῖον εἶναι τῶν χειμερινῶν καὶ τρίτον συμβαίνει. τίκτειν γάρ φησι, περὶ ὃν καιρὸν μάλιστα φωλεῖ. φωλεῖ δὲ τὰ χερσαῖα πάντα τοῦ χειμῶνος, ὡς εἴρηται ἐν τῷ ὀγδόῳ. χειμερινὸς ἄρα ὁ ἐλαφηβολιὼν περὶ ὃν κυεῖ. οὐ πρῶτος δὲ, οὐ δὲ δεύτερος. τρίτος ἄρα εἴγε τρεῖς περὶ ἑκάστην τῶν ὡρῶν μῆνές εἰσιν. ἐφεξῆς δ᾽ ἐλαφηβολιῶνι, μουνυχιών. τέταρτος μὲν γὰρ ἀπ᾽ ἐλαφηβολιῶνος σκιροφοριών. τρίτος δὲ ἀπὸ μουνυχιῶνος. Αριστοτέλης ἐν τῇ αὐτῇ περὶ ζῴων ἱστορίᾳ, ὧδε καταριθμούμενος τέταχε. Τίκτουσι δ᾽ οἱ πλεῖστοι τῶν ἰχθύων ἐν μησὶ τρισί. μουνυχιῶνι καὶ θαργηλιῶνι, καὶ σκιροφοριῶνι. Δημοσθένης δὲ ἐν τῷ περὶ παραπρεσβείας λόγῳ, ἡ μὲν τοίνυν εἰρήνη φησὶν ἐλαφηβολιῶνος ἕκτῃ

νος ἕκτη

νος ἕκτῃ ἐπὶ δέκα ἐγένετο, ἀπεδημήσαμεν δὲ ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς ὅλους μῆνας· καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἦσαν οἱ φωκεῖς σῶοι. ἥκομεν δὲ ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, τρίτῃ ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος. Καὶ Αἰσχίνης δὲ ἐν τῇ περὶ παραπρεσβείας ἀπολογίᾳ, ὑπειπὼν ὅτι δὴ τὴν ἐπιστολὴν γράψειε Χάρης ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος, ἐπήνεγκε τάδε. Ἀκούετε ὅτι Μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου· ὁ δὲ κερσοκλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν θρᾴκην, πρὶν ἐμὲ ἀπιέναι. ὥς φησι Χάρης στρατηγός· καὶ ἡ ἐπιστολὴ τοῦ προτέρου μηνὸς, εἴπερ ἐλαφηβολιών ἐστι Μουνυχιῶνος πρότερος.

## ΟΤΙ ΓΕΡΙ ΜΟΥΝΥΧΙΩΝΑ ΗΕΑΡΙΝΗ ΙΣΗΜΕΡΙΑ.

Δῆλον δὲ τοῦτ' αὐτὸ καὶ ἐκ τοῦ δεῖν μῆνα συνεχῆ εἶναι περὶ ὃν ἰσημερία ἐαρινή· περὶ Μουνυχιῶνα δὲ αὕτη. Θεόφραστος γὰρ ἐν τοῖς αὐτοῖς περὶ ἀρότου ὥσπερ ἀπὸ τροπῶν εἶναί φησι τὴν ἀρχὴν τοῦ πρώτου καὶ δευτέρου τῶν ἀρότων, ὡς καὶ τὴν τοῦ τρίτου ἀπὸ ἰσημερίας ἐαρινῆς εἶναι ἐνδεικνύμενος, ἀρχὴ τοῦ τρίτου φησὶν ὃν καλοῦσι θερινὸν, Μουνυχιῶνος. ἐν ᾧ σπείρεται σίκυος. κολοκύντη. βλίτον· οὐ μὴν ἀλλὰ καὶ τῶν ἰχθύων τοὺς πλείστους τίκτειν περὶ ἐαρινὴν ἰσημερίαν Ἀριστοτέλης φησί· τοὺς δὲ πλείστους καὶ ἐν τρισὶ μησί, Μουνυχιῶνι· Θαργηλιῶνι· Σκιροφοριῶνι, ὡς εἴρηται. οὐκοῦν περὶ Μουνυχιῶνα ἡ ἐαρινὴ ἰσημερία· καὶ ἐφεξῆς Ἐλαφηβολιῶνι Μουνυχιών. μετὰ δὲ Μουνυχιῶνα εὐθὺς εἶναι Θαργηλιῶνα, εἶτα Σκιροφοριῶνα, ἐπίδηλον οὐκ ἐκ τῶν νῦν δὴ εἰρημένων Ἀριστοτέλους μόνον, ἀλλὰ καὶ ἐκ τῶν λεχθέντων αὐτῷ περὶ βοῶν, καὶ ἐλάφων ἐν τοῖς αὐτοῖς περὶ ζώων ἱστορουμένοις. Ἄρχονται τῆς ὀχείας φησὶν αἱ βοῦς περὶ τὸν Θαργηλιῶνα μῆνα· καὶ τὸν Σκιροφοριῶνα, αἱ πλεῖσται. οὐ μὴν, ἀλλ' ἔνιαι καὶ μέχρι τοῦ μετοπώρου κυΐσκονται· καὶ τὰς ἐλάφους δὲ ἀποβάλλειν περὶ Θαργηλιῶνα τὰ κέρατα λέγει. τοῦτο δὲ δευτέρῳ μηνὶ τῶν ἐαρινῶν συμβαῖνον ὁρῶμεν. εἰς ταὐτὸ δὲ, τείνει καὶ ἐν τοῖς μετὰ τὰ φυσικὰ ῥηθέν· ὅτι δὲ ἰσημερίας ἐγένετο ἁπλοῦς. καὶ ἐκ Διονυσίων θαργήλια. διότι μετὰ τὰ Διονύσια. δῆλον γὰρ ὅτι Μουνυχιῶνος καὶ περὶ ἰσημερίαν ἐαρινὴν ἤγετο Διονύσῳ ἡ ἑορτή. Σκιροφοριῶνα δὲ ἑξῆς εἶναι Θαργηλιῶνι, μαρτυρεῖ καὶ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν· λέγων περὶ πεύκην, καὶ ἐλάτην, καὶ δρῦν διαλείπειν περὶ τὴν αὔξησιν, καὶ τρεῖς ἀφιέναι βλαστούς· τὸν μὲν πρῶτον ἄκρου ἔαρος, εὐθὺς ἱσταμένου τοῦ Θαργηλιῶνος. τὸν δὲ δεύτερον διαλιπούσας περὶ τριάκοντα ἢ μικρῷ πλείους ἡμέρας ἐπιβάλλεσθαι περὶ τὸν Σκιροφοριῶνα μῆνα λήγοντα. τὸν δὲ τρίτον διαλιπούσας περὶ πεντεκαίδεκα ἡμέρας, ἐπιβάλλεσθαι, ἓξ ἢ ἑπτὰ ἡμέρας Ἑκατομβαιῶνος. μαρτύριον δὲ καὶ τὸ ψήφισμα ὅπερ Αἰσχίνης προφέρεται ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ· φησὶ γὰρ γεγράφθαι Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἀγορὰν ποιῆσαι τῶν φυλῶν. Σκιροφοριῶνος. δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ. Ἐπὶ δὲ Σκιροφοριῶνι Ἑκατομβαιῶνα εἶναι. δηλοῖ μὲν καὶ ἐκ τῶν νῦν εἰρημένων Θεόφραστος. οὐχ ἥκιστα δὲ καὶ ἐξ ὧν ἱστορεῖ περὶ τῆς τομῆς τοῦ αὐλητικοῦ καλάμου, λέγει γὰρ πρὸ Ἀντιγενίδου μὲν ἡνίκα ηὔλουν ἀπλάστως, ὡραίαν τὴν τομὴν εἶναι ὑπὸ ἀρκτοῦρον Βοηδρομιῶνος μηνὸς. ὕστερον δὲ ἐπειδὴ εἰς τὴν πλάσιν μετέβησαν, μετακινηθῆναι· τέμνειν γὰρ τοῦ Σκιροφοριῶνος, καὶ Ἑκατομβαιῶνος. ὡσπερεὶ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. καὶ Ἀριστοτέλης δὲ τρεῖς ἐφεξῆς τέταχε τουτουσὶ μῆνας εἰπών. Τῶν δὲ μαλακοστράκων οἱ κάραβοι μετὰ τὴν ὀχείαν, κυοῦσι καὶ ἴσχουσι τὰ ᾠὰ περὶ τρεῖς μῆνας Σκιροφοριῶνα, καὶ Ἑκατομβαιῶνα, καὶ Μεταγειτνιῶνα.

Ἔτι δὲ βέβαιον καὶ ἐκ πολλῶν ἄλλων. Μῆνα γὰρ τάξαι δεῖ προσεχῆ περὶ ὃν αἱ θεριναὶ τροπαί· τέταρτον γὰρ ἀπὸ Μουνυχιῶνος. ὃς δὴ πρῶτος ἦν τῶν ἐαρινῶν. περὶ Ἑκατομβαιῶνα δὲ αἱ τροπαὶ αἱ θεριναὶ ὡς καὶ Ἀριστοτέλης διασαφεῖ λέγων ἐν τοῖς αὐτοῖς περὶ ζώων. Ἔνια δὲ τίκτει χειμῶνος, καὶ θέρους· χειμῶνος μὲν λάβραξ καὶ κεστρεύς· θέρους δὲ περὶ τὸν Ἑκατομβαιῶνα θυννίδες περὶ τροπὰς θερινάς. καὶ πάλιν· ὀχεύονται θύννοι καὶ σκόμβροι φησὶ περὶ τὸν ἐλαφηβολιῶνα φθίνοντα. τίκτουσι δὲ περὶ τὸν Ἑκατομβαιῶνα ἀρχόμενον. ὃ γὰρ πρότερον περὶ τροπὰς θερινὰς εἶπε, τοῦτ' αὐτὸ ὕστερον περὶ Ἑκατομβαιῶνα ἀρχόμενον λέγει· ὡς ἄρα περὶ Ἑκατομβαιῶνα ἀρχόμενον τῶν θερινῶν γινομένων τροπῶν, ὁμολογούμενον δὲ τούτοις καὶ τὸ περὶ τομῆς τοῦ αὐλητικοῦ καλάμου Θεοφράστῳ λεχθέν· τέμνουσι γὰρ δὴ νῦν φησι τοῦ Σκιροφοριῶνος, καὶ Ἑκατομβαιῶνος· ὡσπερεὶ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. τὸ πρότερον δὴ παρατεθέν. ὅτι μετὰ τροπὰς θερινὰς, τοῦ μεταγειτνιῶνος μηνός· εἴγε μετὰ Ἑκατομβαιῶνα, μεταγειτνιὼν ἐφεξῆς.

# ΟΤΙ ΑΡΧΗ ΕΝΙΑΥΤΟΥ ΑΘΗΝΑΙΟΙΣ Ο ΕΚΑΤΟΜΒΑΙΩΝ.

Καὶ ἀθηναῖοι δὲ τοῦ ἐνιαυτοῦ ἤρχοντο ἀπὸ ἑκατομβαιῶνος. διὰ τὸ τὰς τροπὰς γίνεσθαι περὶ αὐτόν. ἀπὸ γὰρ θερινῶν τροπῶν ἡ ἀρχὴ ἦν ἐκείνοις τοῦ ἔτους, ὥσπερ ῥωμαίοις ὕστερον ἀπὸ τῶν χειμερινῶν. ἀρχὴν μὲν οὖν εἶναι τοῦ ἔτους τὸν ἑκατομβαιῶνα, δῆλον Δημοσθένης ποιεῖ ἐν τρίτῳ τῶν ὀλυνθιακῶν λέγων. Μετὰ δὲ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, ἑκατομβαιών. μεταγειτνιών. Βοηδρομιών. τούτου τοῦ μηνὸς μόγις μετὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε. ἐπιδείκνυσι γὰρ τὴν ἀθηναίων ἀμέλειαν, καὶ εἰς τρεῖς ἔτι μῆνας τοῦ ἐπιόντος ἐνιαυτοῦ προπαρατετάσθαι. ὡς δ' ἀπὸ θερινῶν τροπῶν εἶναι τὴν ἀρχήν, σιμπλίκιος ἐξηγούμενος Ἀριστοτέλους τῆς φυσικῆς ἀκροάσεως τὸ πέμπτον, ὧδε περὶ τοῦ φύσει προτέρου καὶ ὑστέρου λέγων, πιστοῦται. Ἃς δὲ ἡμεῖς ποιούμεθα ἀρχάς, ἐνιαυτοῦ μὲν, περὶ θερινὰς τροπὰς ὡς ἀθηναῖοι. ἢ περὶ μετοπωρινὰς ὡς οἱ περὶ τὴν νῦν καλουμένην ἀσίαν. ἢ περὶ χειμερινὰς ὡς ῥωμαῖοι. ἢ περὶ ἐαρινὰς ὡς ἄραβες, καὶ δαμασκηνοί. μηνὸς δὲ ὥς τινες ἀρχὴν τὴν πανσέληνον λέγουσιν ἢ τὴν νέαν, ἔσονται. θέσει αὗται πάλιν εἰ ἀρχὴ μὲν τοῦ ἔτους ἀπὸ τροπῶν θερινῶν ἀθηναίοις ὡς σιμπλίκιος λέγει θέρους δὲ περὶ τὸν ἑκατομβαιῶνα περὶ τροπὰς τίκτουσι θυννίδες ὡς Ἀριστοτέλης, συμπέρασμα ὅτι ἀρχὴ τοῦ ἔτους ὁ ἑκατομβαιών, τροπικὸς ὢν θερινός. ἀλλὰ μὴν καὶ ἑορτὴν ἀθηναῖοι τότε ἦγον δημοτελῆ. καὶ ἔθυον μεγαλοπρεπῶς τῷ ἡλίῳ, ὡς περὶ τροπὰς ὄντι. ὅθεν καὶ τοὔνομα τῷ μηνὶ, ἑκατομβαιών. κρονίῳ πρότερον, ὡς πλούταρχός φησι, καλουμένῳ. Κενῶς δὲ πρόκλου χλευάζων, γελοίως τὰς Ἡσιόδου ἐξηγεῖται ἡμέρας, ἕτερον εἶναι μῆνα ἑκατομβαιῶνος τὸν κρόνιον ὑπολαμβάνων, καὶ τρίτον συντάττων ἀπὸ ἑκατομβαιῶνος, καὶ θαργηλιῶνα μὲν καὶ μεταγειτνιῶνα, μηδαμῶς ὀνομάζων ὑπ' ἀμαθίας, ληναιῶνα δὲ ὃν καὶ αὐτὸς ᾔδει ἰανουάριον ὄντα, καταλέγων ἐν τοῖς τῶν ἀθηναίων μησὶ, καὶ δεύτερον τιθεὶς ἀπὸ ἑκατομβαιῶνος. ἑκατομβαιῶνα μὲν οὖν εἶναι μετὰ σκιροφοριῶνα εὐθὺς καὶ περὶ ἑκατομβαιῶνα τὰς θερινὰς εἶναι τροπὰς, φανερὸν δὴ ἐνθένδε. μεταγειτνιῶνα δ' ἑξῆς εἶναι, εἶτα βοηδρομιῶνα, δήλωσις μὲν καὶ τὰ Δημοσθένους ἄρτι εἰρημένα. ἐπιμαρτυρεῖ δὲ καὶ τὸ Θεοφράστου περὶ ἀρότου λεχθὲν πρότερον, μεταγειτνιῶνα ἐφεξῆς εἶναι ἑκατομβαιῶνι. τοῦ γὰρ χειμερινοῦ ἀρχὴν μετὰ τροπὰς θερινὰς τοῦ μεταγειτνιῶνος μηνὸς εἶναί φησιν. αἱ δὲ θεριναὶ τροπαὶ περὶ ἑκατομβαιῶνα ἦσαν. Καὶ ἔτι τὸ Ἀριστοτέλους περὶ κυήσεως τῶν καράβων. Μετὰ γὰρ ἑκατομβαιῶνα μεταγειτνιῶνα καταριθμεῖ ἐφεξῆς. Βοηδρομιῶνα δὲ αὐθὶ μεταγειτνιῶνι εἶναι, συλλογίσασθαι δεῖ καὶ ἐκ τοῦ ῥηθέντος Ἀριστοτέλει περὶ τόκου τῶν καράβων ἐστί. Πρὸ ἀρκτούρου γάρ φησι τοὺς καράβους ἐκτίκτειν. κυοῦσι δὲ περὶ μῆνας τρεῖς, Σκιροφοριῶνα. ἑκατομβαιῶνα. μεταγειτνιῶνα. Ἀρκτοῦρός τε περὶ βοηδρομιῶνα ἐπιτέλλει. ὀχεύεσθαι γὰρ τὰς ἐλάφους φησὶ μετ' ἀρκτοῦρον περὶ βοηδρομιῶνα. καὶ Θεόφραστος ὡραίαν εἶναι τὴν τοῦ καλάμου τομὴν, ὑπ' ἀρκτούρῳ, βοηδρομιῶνος. καὶ σουίδας δὲ δὴ ὁ λεξικὸς ὑγιὲς εἴρηκε τοῦτό γε δεύτερον εἶναι ἀθηναίοις μῆνα τὸν μεταγειτνιῶνα εἰπών. Μετὰ δὲ βοηδρομιῶνα ἐφεξῆς μαιμακτηριών. Δῆλον δέ. Ἀριστοτέλης γὰρ ἐν τοῖς αὐτοῖς περὶ ἐλάφων, τοῦτον ἑξῆς τέταχεν εἰπών. Ἡ δ' ὀχεία γίνεται μετ' ἀρκτοῦρον περὶ τὸν βοηδρομιῶνα, καὶ μαιμακτηριῶνα. Καὶ τῶν ζώων δὲ τὰ ἀσθενέστερα πρότερον ποιεῖσθαι τὴν μετάστασιν πρὸς τὰς μεταβολὰς τῶν ὡρῶν ἐπιδεικνὺς, ὄρτυγας μὲν βοηδρομιῶνος. Γεράνους δὲ μαιμακτηριῶνος μεταβάλλειν φησὶ, καθάπερ ἀμέλει δὴ καὶ ὁρῶμεν τὰς γεράνους τοῦ ἐπιόντος μηνὸς μετὰ τοὺς ὄρτυγας ἀπαίρειν ἐκ τῶν ψυχρῶν τόπων, εἰς τοὺς ἀλεεινούς. Ἅμα δὲ δῆλον καὶ ἐκ τῶν μηνῶν δεῖν τάξαι περὶ ὃν ἡ φθινοπωρινὴ ἰσημερία. Τέταρτον γὰρ ἀπὸ ἑκατομβαιῶνος, περὶ ὃν ἡ θερινὴ ἦν τροπή. μαιμακτηριὼν δὲ περὶ ὃν ἡ ἰσημερία. περὶ ἀρκτοῦρον γὰρ ἡ ἰσημερία. Περὶ μαιμακτηριῶνα δὲ ὁ ἀρκτοῦρος. τῶν δὲ θέσεων. τῇ μὲν αὐθέντης Θεόφραστος, ἀνθεῖν ἱστορῶν τὴν κερωνίαν περὶ ἀρκτοῦρόν τε καὶ ἰσημερίαν. Καὶ προσέτι γαληνὸς ὁ ἰατρὸς, γράφων ἐν τοῖς περὶ ὑγιεινῶν λόγοις ὧδε. Ἔστι μὲν ὡραιότατον τῆς ἐλάτης τὸ σπέρμα περὶ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου. ὅστις καιρὸς ἐν ῥώμῃ ὁ καλούμενος μὲν σεπτέμβριός ἐστι. τῇ δ' αὐθέντης Ἀριστοτέλης. μετ' ἀρκτοῦρον γάρ φησι περὶ βοηδρομιῶνα καὶ μαιμακτηριῶνα ὡς εἴρηται. ἢ οὐ τὸ πάρεγγυς ἂν σημαίνοι ὁ οὕτω φράζων. τοῦτο δὲ ἄτοπον. ἐπεὶ καὶ ἡ φύσις πρὸς τὰς ὥρας ποιεῖται τὰς ὀχείας καὶ τοὺς τόκους τῶν ζώων, καὶ ἤτοι ὅλῃ χρῆται τῇ ὥρᾳ ἢ τῷ μέσῳ που μάλιστα τῆς αὐτῆς. ἄλλως τε καὶ εἰ τῇ ἀρχῇ χρησαμένη ἤδη τυγχάνοι. σημεῖον δ' οὐ μικρὸν τοῦ προσεχοῦς καὶ τὸ περὶ βοῶν οὕτω ῥηθέν. ἄρχονται τῆς ὀχείας αἱ βοῦς περὶ τὸν θαργηλιῶνα μῆνα, καὶ τὸν σκιροφοριῶνα. οὐ μὴν ἀλλ' ἔνιαι καὶ μέχρι τοῦ μετοπώρου κυΐσκονται. τὸν γὰρ τῶν πλείστων χρόνον ἐνώσας περὶ τοὺς δύο μῆνας θαργηλιῶνα καὶ σκιροφοριῶνα, διεστείλατο πρὸς τὸν τῶν ἐνίων, ὅλως τε ὅπου

ποτ' ἂν οὕτως

ποτ' ἂν οὕτως ἑρμηνεύσῃ συντάξας μηδὲν προσδιορίζων, τὸ ἐφεξῆς τοῦ χρόνου λαμβάνει. δῆλον δὲ τὰ καθ' ἕκαστα μετιόντι. ἀλλὰ μὴν καὶ τὸν γαλεῶν ἀστερίαν ἄρχεσθαι μὲν ὀχεύεσθαι μηνὸς μαιμακτηριῶνος φησί, δὶς δὲ τοῦ μηνὸς ἀποτίκτειν. ταῦτα δὲ συμβαίνειν εὐθὺς ἀπὸ ἰσημερίας φθινοπωρινῆς οἱ περὶ τάραντα ἁλιεῖς λέγουσιν. εἰκὸς δὲ καὶ τῷ λόγῳ. τῶν γὰρ ἰχθύων ὀλίγοι τίκτουσι μετοπώρου, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ. οἷον σάλπη. σαργός. καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ νάρκη, καὶ ῥίνη. μικρὸν πρὸ ἰσημερίας τῆς φθινοπωρινῆς. εἰ δὲ δὴ ἀστερίας μαιμακτηριῶνος τίκτει, εἰκὸς τὸν μῆνα τοῦτον μὴ εἶναι δεύτερον ἀπὸ τῆς ἰσημερίας, ἀλλὰ πρῶτον. καὶ περὶ ἰσημερίαν δὴ τίκτειν καὶ ἀστερίαν τῶν σελαχωδῶν ὄντα καὶ ὁμογενῆ τῇ νάρκῃ, καὶ ῥίνῃ. ἰσημερία μὲν οὖν διὰ ταῦτα περὶ μαιμακτηριῶνα καὶ ἑξῆς ὅδε βοηδρομιῶνί ἐστι.

Πυανεψιὼν δὲ, μετὰ μαιμακτηριῶνα εὐθύς. τὸ δὲ πιστὸν καὶ παρὰ Πλουτάρχου ληπτέον λέγοντος ἐν τῷ Θησέως βίῳ ἄγειν Ἀθηναίους τὴν τῶν ὀσχοφορίων ἑορτὴν πυανεψιῶνος, Θησέως καταστάντος. φέρειν τε τοὺς ὀσχοὺς ὅτι συγκομιζομένης ὀπώρας ἐπανῆκε Θησεὺς μετὰ τῶν ἠϊθέων ἐκ κρήτης, πυανεψιῶνος ὀγδόῃ ἱσταμένου. δῆλον γὰρ ὅτι ἀμπελικῆς ὀπώρας ἡ κομιδὴ ἦν. ἡ δὲ ὀψιαιτέρα μετ' ἀρκτοῦρον, ἢ εἰς τρίτον μῆνα οὐκ ἂν γένοιτο περὶ Ἀττικήν. τρίτος δ' ἡμῖν πυανεψιὼν ἀπὸ βοηδρομιῶνος καὶ μετ' ἀρκτοῦρον. ἀλλὰ μὴν καὶ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν ἱστορεῖ, κόμαρον ἀνθεῖν πυανεψιῶνος. ὁρᾶται δὲ τοῦτο γινόμενον περὶ Ἀττικὴν καὶ τὰς ὁμοίας τὴν κρᾶσιν χώρας δευτέρῳ μηνὶ ἀπ' ἰσημερίας φθινοπωρινῆς. τρίτῳ δὲ ἀπανθεῖν καὶ τὸ μεμαίκυλον ἤδη, ἁδρυνόμενον ἴσχειν. πυανεψιῶνος δὲ καὶ τὴν ἐν αἰγύπτῳ κοκκυμηλέαν ἀνθεῖν φησι. τοῦτο δὲ περὶ δεύτερον γίνεσθαι μῆνα ἀπὸ ἰσημερίας αἰγύπτιοι λέγουσι. καὶ ἄλλως δὲ δόξειεν ἂν ἀμφισβητοῦντι μάλιστα τῶν ἄλλων ἁπάντων μηνῶν ὁ πυανεψιὼν εὐθὺς εἶναι μετὰ βοηδρομιῶνα, εἴγε περὶ αὐτὸν ἡ κομιδὴ τῆς ὀπώρας, ὡς Πλούταρχος ἔφη. οὐκ ἔστι δέ. μαιμακτηριῶνα γὰρ εἶναι ἀποδέδεικται δή. ὁ ἄρα μετ' ἐκεῖνον εὐθὺς, ὅδ' ἐστίν. ὕστατος δὲ τῷ καταλόγῳ τῷδε ἡμῖν ἀνθεστηριών. τῷ γὰρ ὑπολειπομένῳ τὴν λοιπὴν ἀπονεῖμαι χώραν δὴ ἀναγκαῖον. καὶ πίστις ἱκανὴ, τέως γε τοῦτο ἂν εἴη. ἅμα δὴ δῆλον καὶ ὅτι περὶ ποσειδεῶνα αἱ χειμεριναὶ τροπαί, ἀκριβέστερον. ὅπερ κατ' ἀρχὰς ἀπελίπομεν τοῖς ὑστέροις. ἕβδομος γὰρ ὅδε ἀπὸ ἑκατομβαιῶνος καὶ τροπῶν θερινῶν. Φιλόστρατος δὲ πάμπολυ διέστηκε φάμενος Ἀθηναίοις νόμιμον εἶναι τοὺς παῖδας τριετεῖς γινομένους, στεφανοῦσθαι τῶν ἀνθέων μηνὸς ἀνθεστηριῶνος, δῆλος γάρ ἐστιν ἐαρινὸν τὸν δὲ μῆνα καταριθμῶν. εἰ μὲν οὖν οἱ ἐπ' αὐτοῦ Ἀθηναῖοι τὴν τῶν προγόνων περὶ τοὺς μῆνας σύνταξιν ὑπαλλάξαντες ἄλλως ἐχρῶντο, ἀληθὲς ἂν λέγοι. πλὴν ἡμῖν, οὐχ ὅτι οἱ ἐπὶ Φιλοστράτου Ἀθηναῖοι ἦγον, ἐπιμελὲς εἰδέναι τε καὶ λαβεῖν. ἀλλ' ὅτι οἱ ἐπ' Ἀριστοτέλους καὶ Θεοφράστου. εἰ δὲ δὴ τὸ μὲν περὶ τοὺς παῖδας αὐτὸς λογοποιεῖ τε, καὶ πλάττεται, ὡς καὶ ἄλλα πολλὰ, σοφιστὴς ὤν. τὸν δὲ μῆνα ἀπὸ τῶν ἀνθέων ἐτυμολογῶν ὑπείληφεν ἐαρινὸν εἶναι, οὕτω δὲ καὶ πολλῷ μᾶλλον εὐκαταφρονητότερα τὰ κατ' αὐτὸν γίνεται. οὐδὲ γὰρ δὴ τὰ τῆς ἐτυμολογίας πιθανώτερα ἀπὸ τῆς ἕξεως τῶν ἀνθέων, ἢ ἀπὸ τῆς στερήσεως φαίνοιτ' ἄν. ὅτι γὰρ στέρεσθαι τότε ἀνθέων συμβαίνει τὴν ὥραν ἀνθεστηριῶνα τὸν τελευταῖον τῶν φθινοπωρινῶν μηνῶν ὀνομάζεσθαι φαίημεν ἂν ἡμεῖς εἴ τι δέοι καὶ τοῖς ὀνόμασι κατακολουθεῖν.

## ΤΟ ΕΦΕΞΗΣ ΤΩΝ ΑΤΤΙΚΩΝ ΜΗΝΩΝ.

Τὸ μὲν οὖν ἐφεξῆς τῶν ἀττικῶν μηνῶν ὧδε ἡμῖν διὰ τὰς εἰρημένας αἰτίας ὑφηγείσθω.

Ἑκατομβαιών.
Μεταγειτνιών.
Βοηδρομιών.
Μαιμακτηριών.
Πυανεψιών.
Ἀνθεστηριών.
Ποσειδεών.
Γαμηλιών.
Ἐλαφηβολιών.
Μουνυχιών.
Θαργηλιών.
Σκιροφοριών.

## ΑΙΤΙΟΝ ΤΗΣ ΠΕΡΙ ΤΟΥΣ ΜΗΝΑΣ ΑΓΝΟΙΑΣ.

Τῆς δὲ περὶ ταῦτα ἀγνοίας τοῖς πρὸ ἡμῶν, αἴτιον τὸ Ῥωμαίους ἅμα καὶ διορθῶσαι τὰ περὶ τὸν ἐνιαυτὸν, καὶ ἄρξαι ὥσπερ τῶν ἄλλων ἐθνῶν, καὶ τοῦ ἑλληνικοῦ. πρὸς γὰρ τῷ ἄρχειν ἑτέρων, καὶ τὸ τῆς φωνῆς δὴ καθαρὸν τὸ κομψὸν ἕλληνες ἀπολωλεκότες, πρὸς τὴν τῶν ἀρχόντων φωνὴν ἣ φιλεῖ γίνεσθαι, ἐξίσταντο καὶ τῶν ῥωμαϊκῶν ὀνομάτων ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ταῖς τῶν μηνῶν προσηγορίαις τοῖς σφετέροις ἀναμιγνῦντες ἐχρῶντο. δεξάμενοί τε ἀποικίας ῥωμαίων αὐτούς τε ἄχρι καὶ νῦν ῥωμαίους ἀντὶ ἑλλήνων καλοῦσι. καὶ ὥσπερ οἰκείαις ταῖς τῶν ῥωμαίων ἀμφὶ τοὺς μῆνας χρῶνται ὀνομασίαις.

## ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ ΤΩΝ ΜΗΝΩΝ.

Ἑρμηνείας δ' ἕνεκα πρὸς τοὺς τῶν ῥωμαίων, μῆνας, εἰ λάβοι μὲν ἀρχὴν ὁμολογουμένην ἕνα τινὰ τῶν μηνῶν ὀνομάσαντες ὀρθῶς ὡς ἀθηναῖοι ἦγον, καὶ ὡς ῥωμαῖοι τὸν αὐτὸν προσαγορεύειν εἰώθασιν. ἔσται δὴ οὕτω καλῶς ἀποδεδομένον ὡς ἑκάστους γε μεθερμηνευτέον. καὶ ὡς περὶ ἑκάστην δή που τῶν ὡρῶν χρηστέον τοῖς ἀθηναίων ὀνόμασι τούτοις. περὶ γὰρ τάξεως τῶν ῥωμαϊκῶν γε ἀμφισβητεῖ οὐδεὶς εἰ πρῶτος ἰανουάριος. εἶτα φεβρουάριος. εἶτα μάρτιος, καὶ οἱ λοιποί. καθάπερ καὶ λέγονται ἐφεξῆς. εἰλήφθω δὴ οὖν τις τῶν τροπικῶν. ἔστω δὲ εἰ δοκεῖ, ἑκατομβαιών. Εἰ τοίνυν περὶ ἑκατομβαιῶνα αἱ θεριναὶ τροπαὶ ἀθηναίοις, δῆλον ὅτι περὶ ὃν ἄν ποτε ὦσι ῥωμαίοις τῶν οἰκείων μηνῶν, αἱ αὐταὶ τροπαί, οὗτός ἐστιν ἑκατομβαιών. λέγω δὲ κατ' ἀναλογίαν ὥσπερ σημεῖον καὶ ἄκανθαν, καὶ ὀστοῦν. ἀνάλογον γὰρ καὶ πάντα ἁπλῶς ἑρμηνεύειν δεῖ. μὴ ὅτι τοὺς μῆνας, εἰ μέλλοι τι ὄφελος εἶναι τῆς ἑρμηνείας. περὶ ἰούνιον δὲ ῥωμαίοις ἀεὶ αἱ θεριναὶ τροπαί, ὡς ἴσασι πάντες. ὁ ἄρα ἰούνιός ἐστιν ἑκατομβαιών. θεμένοις δὲ δὴ ἰούνιον εἶναι τὸν ἑκατομβαιῶνα ἔργον οὐδὲν τῶν ἄλλων ἕκαστον ἑρμηνεῦσαι. ὁ γὰρ ἀεὶ ἐπιὼν τῶν ἀττικῶν κατὰ τὴν ὑποτεθεῖσαν σύνταξιν, τῷ ἀεὶ ἐπιόντι τῶν ῥωμαϊκῶν ἐφαρμόττων, καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ συμφωνῶν ὑπάρξει. Απορήσειε δ' ἄν τις εἴγε τοὺς χρόνους ἀθηναῖοι ἦγον κατὰ τὴν σελήνης φοράν. Ῥωμαῖοι δὲ κατὰ τὴν ἡλίου λογίζονται, πῶς ἂν οἱ τῶν ἀθηναίων ἐφαρμόζοιντο τοῖς τῶν ῥωμαίων μησίν, ὥστε καὶ ἀπαρτίζειν αἰεὶ καὶ ἰούνιον μὲν τὸν ἑκατομβαιῶνα. ἰούλιον δέ, τὸν μεταγειτνιῶνα ἑρμηνεύειν ὀρθῶς. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οὐ γὰρ ἰσοταχὴς ἡ σελήνη τῷ ἡλίῳ. οὐδ' ἅμα τελευτῶσι καὶ ἄρχονται ὡς εἰπεῖν περὶ τὸν τοῦ ζωδιακοῦ μερισμόν. ἀνάγκη δὴ ἐπαμφοτερίζειν τοὺς τῶν ἀθηναίων μῆνας. εἰ δὲ δὴ ἕκαστος ἐπαμφοτερίζων ἀμφοῖν ἐπιλήψεται τοῦ τε προτέρου ὡς ῥωμαῖοι ἄγουσι, καὶ τοῦ ὑστέρου μηνός, τί μᾶλλον ἀπὸ τοῦ προτέρου μεθερμηνευόμενος ὀνομάζοιτο ἂν καλῶς, ἢ ἀπὸ τοῦ ὑστέρου. ὃν δὴ τρόπον καὶ Γαληνὸς περὶ τοῦ τῆς ἐλάτης σπέρματος γράφων. ὅς τις καιρός φησιν ἐν ῥώμῃ μὲν ὁ καλούμενος μὴν σεπτέμβριός ἐστιν. ἐν περγάμῳ δὲ παρ' ἡμῖν ὑπερβερεταῖος ἀθήνησι. δὲ μυστήρια. Τὰ γάρ τοι μυστήρια βοηδρομιῶνος ἦν. περὶ εἰκάδα γὰρ τοῦ βοηδρομιῶνος ὁ μυστικὸς ἴακχος ἐξήγετο. ὡς καὶ πλούταρχος ἱστορεῖ. Ἔοικε δὲ καὶ ὁ Ῥωμαῖος Πλίνιος παντοδαπῆς ἱστορίας συγγραφεὺς οὕτω μεταφέρων Ἀριστοτέλους τὸ περὶ τόκου τῶν ἰχθύων, ὡς οἱ πλεῖστοι τίκτουσιν ἐν τρισὶ μησί. μουνυχιῶνι. θαργηλιῶνι. σκιροφοριῶνι, φάναι ἐν τρισίν. Απρίλι. Μαΐῳ. Ἰουνίῳ, τίκτειν τοὺς πλείστους.

Ἔτι τοῦ ἐνιαυτοῦ ὡς μὲν Ῥωμαῖοι ἄγουσι, τριακόσιαι, καὶ ἑξήκοντα, καὶ πέντε ἡμέραι εἰσίν. ἀκριβολογεῖσθαι δ' εἰς τὸ παρὸν οὐδὲν δεῖ. ὡς ἀθηναῖοι κατὰ μὲν Ἀριστοτέλη, τριακόσιαι, καὶ ἑξήκοντα. ἔνιαι δέ φησι κύουσι τῶν κυνῶν πέμπτον μέρος τοῦ ἐνιαυτοῦ. τοῦτο δέ ἐστιν ἡμέρας ἑβδομήκοντα καὶ δύο. καθ' Ἡρόδοτον δὲ καὶ ἄλλους, τριακόσιαι πεντήκοντα τέσσαρες. ὡς τοσούτων δὴ γινομένων, εἰ τῶν μηνῶν οἱ μὲν πλήρεις τε, καὶ τριακονθήμεροι. εἰ δὲ κοῖλοι τε καὶ μιᾷ τῶν ἑτέρων ἡμέρᾳ λειπόμενοι, ἐναλλὰξ εἶεν παρ' ἕνα. ὁποτέρως δ' ἂν ἔχῃ, τὸ ἐπιὸν δὴ ἔτος ἀεὶ προτερήσει. καὶ ἐκ προσαγωγῆς, εἰς ἐναντίας ὥρας ἐκπεσοῦνται οἱ μῆνες ὑποφερόμενοι. Πάλιν εἰς τὸ ἴλιον ἥλω τελευτῶντος τοῦ ἔαρος ὀγδόῃ φθίνοντος θαργηλιῶνος μηνός. ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς ὡς ὁ ἁλικαρνασεὺς Διονύσιος ἀρχαιολογῶν τὰ ῥωμαϊκά φησι, πῶς τροπικὸς θερινὸς ὁ ἑκατομβαιών. οὐδὲ γὰρ ὁ λόγος ἀποφαίνει σκιροφοριῶνα εἶναι τροπικὸν θερινόν. ἀνομόλογον δὲ καὶ τὸ Θεοφράστου. ὅτι ἄκρου ἔαρος εὐθύς, ἱσταμένου τοῦ θαργηλιῶνος. εἰ γὰρ ἄκρον ἔαρ ὁ θαργηλιών, οὐκ ἂν τροπικὸς ὁ ἑκατομβαιὼν εἴη. πολὺ δ' ἧττον ὁ μουνυχιὼν ἐαρινός τε, καὶ ἰσημερινός. Ἔοικε δ' ἀπεμφαῖνον καὶ τὸ τοῦ Πλουτάρχου. συγκομιζομένης ὀπώρας πυανεψιῶνος ὀγδόῃ ἱσταμένου. δοκεῖ γὰρ ὁ πυανεψιὼν μᾶλλον εἶναι ἰσημερινὸς φθινοπωρινός, ἢ ὁ μαιμακτηριών. εἴγε ἀμπελικῆς ὀπώρας ἡ κομιδὴ ἦν. λῦσαι δὴ δεῖ τὰ ἀπορούμενα ταῦτα. ἵν' ἥ τε σκέψις γίνηται κατὰ τρόπον, καὶ τὸ πιστὸν μᾶλλον ἔχῃ τὰ εἰρημένα. Τοὺς μὲν οὖν πάνυ ἀρχαίους ἀλογίστως τε καὶ ἀτάκτως κεχρῆσθαι τοῖς μησὶ καὶ ἄλλοις ἄλλως τὸν ἐνιαυτὸν ὡρικέναι παρά τε ἄλλων καὶ Πλουτάρχου ἀνδρὸς πολυμαθεστάτου πυθέσθαι ἐστίν. ἔνιοι γοῦν τῶν βαρβάρων τρισὶν ἐχρῶντο μησὶν εἰς τὸν ἐνιαυτόν. καὶ τῶν ἑλλήνων ἀρκάδες μὲν τέτταρσιν. ἀκαρνᾶνες δὲ ἕξ. αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτός. εἶτα τετράμηνος. ὥς φασι. διὸ καὶ ἀρχαιότατοι εἶναι δοκοῦσι. πλῆθος ἐτῶν καταριθμοῦντες σφίσιν ἀμήχανον. ἅτε δὴ τοὺς μῆνας τιθέμενοι εἰς ἐτῶν ἀριθμόν. καὶ Ῥωμαῖοι δὲ πρότερον, δεκάμηνον ἦγον τὸν ἐνιαυτόν. καὶ τῶν μηνῶν τοὺς μὲν οὐδὲ εἴκοσιν ἡμερῶν· τοὺς δὲ πέντε, καὶ τριάκοντα, τοὺς δὲ καὶ πλειόνων. ἐκεῖνό τε μόνον ἐσκόπουν, ὅπως ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται. ἔννοιαν δὲ τῆς γινομένης περὶ τὴν σελήνην, καὶ τὸν ἥλιον ἀνωμαλίας, οὐκ εἶχον ὕστερον δὲ Νομᾶς πομπίλιος βασιλεύσαν, λέγεται δύο τε προσθεῖναι μῆνας καὶ τὸ παράλλαγμα τῆς ἀνωμαλίας ἡμερῶν ἕνδεκα γίνεσθαι λογιζόμενος, ὡς τοῦ μὲν σεληνιακοῦ ἔτους τριακοσίας πεντήκοντα τέσσαρας ἔχοντος ἡμέρας. τοῦ δὲ ἡλιακοῦ τριακοσίας ἑξήκοντα πέντε, τὰς ἕνδεκα ταύτας διπλασιάσας, ἐπα-

σας, ἐπαγαγεῖν παρ᾿ ἐνιαυτὸν αὐθὶ τῷ φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον, εἴκοσι καὶ δυοῖν ἡμερῶν ὄντα.

Εἰκὸς δ᾿ ἐκεῖνον ταῦτα πρὸς ὁμοίαν τινὰ ἀθηναίων χρῆσιν πεποιηκέναι.

Σόλωνα γὰρ πρῶτον ἀθήνησι τὴν περὶ τῶν μηνῶν ἀνωμαλίαν συνιδεῖν φασι. καὶ τὴν μὲν ἡμέραν καθ᾿ ἣν ἡ σελήνη καταλαμβάνει τε καὶ παρέρχεται τὸν ἥλιον, τάξαι ἔνην, καὶ νέαν καλεῖσθαι. τὴν δ᾿ ἐφεξῆς, νουμηνίαν προσαγορεῦσαι ἄχρι τε τριακάδος τὸν μῆνα ἠριθμηκέναι. καὶ ὅλως αὐθὶ τὸ βέλτιον διαθέσθαι τὰ περὶ τὸν ἐνιαυτόν.

Χρῆσιν δ᾿ ἐμβολίμου μηνὸς καὶ ἑλλησιν ἀνέκαθεν εἶναι δηλοῖ καὶ Ἡρόδοτος λέγων. Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν. αἰγύπτιοι δὲ τριηκοντημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας, ἐπάγουσιν ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας, πάρεξ τοῦ ἀριθμοῦ καί σφιν ὁ κύκλος τῶν ὡρέων ἐς τὠυτὸ περιϊὼν παραγίνεται. Εἰ δὲ Νομᾶς μὲν εἴκοσι καὶ δυοῖν ἡμερῶν τὸν ἐμβόλιμον ἔταξεν. Ἡρόδοτος δὲ τριακονθήμερον καταριθμεῖ, οὐδὲν τοῦτο πρὸς τὸν νῦν λόγον. ἀλλ᾿ ἐκεῖνο δῆλον καὶ ἐκ τούτων ὡς ἀθηναῖοι χρώμενοι ἐμβολίμῳ προσανεπλήρουν τὸ ἐλλεῖπον. πρὸς τὴν ὅλην περίοδον τοῦ ἡλίου τῶν ὡρῶν ἕνεκα.

## ΠΕΡΙ ΕΝΙΑΥΤΟΥ.

α ιχῶς οὖν ἐθεώρουν τὸν ἐνιαυτόν. οἷον τὸν μὲν, ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις ὁριζόμενον τῷ ἡλίῳ. διὰ τὴν εἰς τοσαύτας μοίρας κατατομὴν τοῦ λοξοῦ. καὶ τούτου δὴ μέρος πέμπτον Ἀριστοτέλης εἶναι φησίν, ἡμέρας ἑβδομήκοντα καὶ δύο. τὸν δὲ τέτταρσι καὶ πεντήκοντα καὶ τριακοσίαις, τῇ σελήνῃ. ἀνάλογον δὲ καὶ τοὺς μῆνας ἦγον. τοὺς μὲν κατὰ τὸν ἥλιον. τοὺς δὲ κατὰ τὴν σελήνην. ἐπέβαλλόν τε τοῖς μὲν τριάκοντα ἡμέρας. τοῖς δὲ πέντε. καὶ εἴ του πλείονος δέοι διὰ τετάρτου ἐνιαυτοῦ. τὰ δ᾿ ἀραβοήθεια ἣν διατείνουσα μὲν οὐ πόῤῥω. ἱκανὴ μέν τοι εἰς τὸ αὐτὸ ἀντικαταστῆναι καὶ εἴργειν ἐν τοῖς αὐτοῖς που ὅροις τοὺς μῆνας. ἴαμά τε τῆς ἀνωμαλίας ἐτύγχανεν ὄν, ὡς καὶ Πλούταρχος λέγει, μειζόνων ἰαμάτων δεήσεσθαι μέλλον. Καῖσαρ οὖν ὁ πρῶτος μοναρχήσας ῥωμαίων, τοῖς ἀρίστοις τῶν μαθηματικῶν πρόβλημα περὶ τούτου προθεὶς. ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν ἔμιξε. δοκοῦσι δ᾿ αἰγύπτιοι πρῶτοι μησὶ χρήσασθαι καθ᾿ ἥλιον τριακονθημέροις δώδεκα. καὶ πέντε ἡμέρας ἐπαγαγεῖν κατ᾿ ἐνιαυτὸν ἕκαστον, τό τε ἐπιτρέχον μόριον τῆς ἡμέρας εἰς ἐκπλήρωσιν τοῦ ὅλου ἐνιαυτοῦ, ἐκ περιόδων πλειόνων ἐτῶν ἀπολαβόντες συνθέσθαι μίαν ἡμέραν. ἕλληνες δὲ παρ᾿ ἐκείνων ἄλλά τε πλείω τῶν οὐρανίων θεωρημάτων καὶ ταῦτα παρέλαβον. τὰ μὲν μεθερμηνευθέντων εἰς τὸ ἑλληνικὸν τῶν ὑπομνημάτων. τὰ δὲ καὶ συνδιατρίψαντες τοῖς ἐκεῖ ἱερεῦσι περιττοῖς οὖσι τὴν τῶν οὐρανίων ἐπιστήμην. πλάτωνα γοῦν φασί τινες καὶ εὔδοξον ἀποδημήσαντας εἰς αἴγυπτον, ὁμιλῆσαι τοῖς ἱερεῦσι τρισκαίδεκα ἔτη. μυστικοὺς γὰρ ὄντας καὶ δυσμεταδότους, ἔδει τῷ χρόνῳ καὶ ταῖς θεραπείαις ἐκλιπαρῆσαι ὥστε τινὰ τῶν θεωρημάτων ἱστορῆσαι.

Ταῦτα μὲν οὕτω διαιρεῖν ἴσως οὐ χεῖρον. τό τε διηπορημένον φανεὶς ὁ ἐμβόλιμος λύει. καὶ ἔτι διὰ πλείονος ἔτι χρόνου παραλλάττοι, εἰκὸς καὶ τοὺς πάλαι συνορῶντας καὶ τοῦτο δήπου ἐπανορθοῦσθαι. ὅτε μὲν μακρότερον. ὅτε δὲ βραχύτερον τὸν ἐμβόλιμον ποιουμένους. τὸ δ᾿ ἀκριβέστατον καὶ μὴ δὲ παρ᾿ ὀλίγον τι πλημμελεῖν. οὐκ ἐπιζητεῖν δεῖ. ὁπότε καὶ νῦν ἐπίδοσιν τῆς ἀστρολογίας τοσαύτην λαβούσης, ὅμως ἡ τῆς κινήσεως ἀνωμαλία διαφεύγει τὸν λόγον, περιγινομένη τῆς τῶν μαθηματικῶν ἐμπειρίας. Τὰς μέν τοι τῶν μηνῶν περιόδους ὁμολογεῖν ταῖς ὥραις ἀεὶ ποιεῖ ὁ ἐμβόλιμος τῷ τρίτῳ ἀεὶ ἐπαγόμενος τῶν ἐτῶν.

Τὸ δὲ πρὶν ἐμβολάσαι, καὶ περὶ τὸ ἐμβολάζειν αὐτὸ ἔτος ὑπενεχθέντε καὶ ἐπαλλάξαν τῶν μηνῶν, ἔτι δεῖται λόγου. πῶς ἂν ἑρμηνευόμενον τυγχάνοι τοῦ ἱκανοῦ.

Δῆλον γὰρ ὅτι τὸ ἐμβολάζον, συχνὰ παρ᾿ ἔναπου ἕξει τοὺς μῆνας ἀνομολόγους ταῖς ὥραις. διὸ καὶ θεόφραστος, ἔαρος εὐθὺς ἱσταμένου τοῦ θαργηλιῶνός φησιν, ὡς τοῦ μουνυχιῶνος χειμερινοῦ δὴ γενομένου. τοῦ δ᾿ ἐμβολίμου, θερινοῦ τροπικοῦ. ἢ καὶ περιστήσαντος τὴν τροπὴν εἰς ἱστάμενόν που τὸν ἑκατομβαιῶνα. τοῦτο μὲν οὖν μὴ συμβαίνειν, οὐχ οἷόν τέ ἐστι. διὰ γὰρ τοῦτο καὶ ὁ ἐμβόλιμος ἐπάγεται ἀναπληρῶν τὸ ἐνδεὲς καὶ εἰς ἑκατομβαιῶνα τὰς τροπὰς ἀποκαθιστάς. τὴν δ᾿ ἑρμηνείαν ποιητέον αὐθὶ τῶν οὕτω χρονολογούντων, στοιχείῳ χρωμένους τῷ παρόντι ἀεὶ τροπικῷ μηνὶ, καὶ τῷ ἑξῆς τῶν μηνῶν κατὰ τὰ ὑποτεθέντα. οἷον ἐπειδὴ θεόφραστος ἄκρου ἔαρος εὐθὺς ἱσταμένου τοῦ θαργηλιῶνός φησι, μεθερμηνευτέον μαρτίου καὶ μὴ ἀπρίλιος.

Πάλιν ἐπειδὴ θουκυδίδης ἐλαφηβολιῶνα τελευταῖον μῆνα τῶν χειμερινῶν εἶναί φησι, τοῦτον μὲν φεβρουάριον ἑρμηνευτέον. τὸν δ᾿ ἐπιόντα μουνυχιῶνα, θετέον ἔαρος εἶναι ἀρχὴν, καὶ μάρτιον μεταφραστέον λατίνοις. ὥστε δὴ καὶ συμβαίνει δύο ἰσημερινοὺς εἶναι ἐαρινούς. μουνυχιῶνά τε καὶ θαργηλιῶνα. καὶ φθινοπωρινοὺς δύο Μαιμακτηριῶνα, καὶ Βοηδρομιῶνα. ὡς δ᾿ αὔτως καὶ τροπικοὺς δύο θερινούς. ἑκατομβαιῶνα καὶ τὸν ἐμβόλιμον. καὶ χειμερινούς. Ποσιδεῶνα καὶ Γαμηλιῶνα. δι᾿ ὅπερ Ἀριστοτέλης, ἡ ἀλεκτορίς φησι τίκτει ὅλον τὸν ἐνιαυτόν. ἔξω δύο μηνῶν τῶν ἐν τῷ χειμῶνι τροπικῶν. καὶ τὸ ἐν τοῖς μετεωρολογικοῖς. ὅτι ἐγένετο κομήτης ἀστὴρ πρὸς ἄρκτον μηνὸς Γαμηλιῶνος περὶ τροπὰς ὄντος τοῦ ἡλίου χειμερινάς. καὶ ἀνθεστηριῶνος δὲ ἅψαιτ᾿ ἄν ποτε

ἡ τροπή, λήγοντος. ἀλλ' οἵγε ὀνομαζόμενοι τροπικοὶ χειμερινοί, δύο οἱ εἰρημένοι εἰσίν. ἁπλῶς μέντοι θέρους ἀρχὴν ὑποληπτέον εἶναι τὸν ἑκατομβαιῶνα. καὶ τροπικὸν θερινόν. ἀνάλογον δὲ καὶ τοὺς ἄλλους. δεῖ γὰρ μὴ τὸ συμβαῖνον, ἀλλὰ τὸ σκοπούμενον λαμβάνειν τῷ λόγῳ. εἴρηται γοῦν καὶ ἐν τοῖς φυσικοῖς τῶν λόγων, ὡς δεῖ ἕκαστον λέγειν τοῦτο εἶναι ὃ φύσει βούλεται εἶναι καὶ ὃ ὑπάρχει. ἀλλὰ μὴ ὃ βίᾳ, καὶ παρὰ φύσιν. Διονύσιος δὲ παρ' ἐφόρου εἰληφὼς λέγει, θαργηλιῶνος ἁλῶναι τὸ ἴλιον. Πλούταρχος γοῦν ἐν τῷ φρουρίου καμίλλου βίῳ, ἔφορον ἀναγεγραφέναι τοῦτό φησιν. οὐ μὴν δὲ καὶ πρότερον ἑπτακαίδεκα ἡμέραις τῆς θερινῆς τροπῆς λέγει. ἀλλ' οὖν θαργηλιῶνος κἀκεῖνός φησιν.

Εἰ μὲν οὖν ἔφορος Σκιροφοριῶνος φάναι βουλόμενος εἶπε μὴ ἐντὸς ὢν αὑτοῦ. θαργηλιῶνος. ὥσπερ ἐν ἄλλοις αὖ ἀντὶ ἰβηρίας τῆς κατὰ τὴν εὐρώπην μεγίστης χώρας, πόλιν εἶναί τινα τὴν ἰβηρίαν φησίν, ἀγαπάτω μηδὲν ἐπιτιμώμενος. σκῆψιν ἐπιτιμήσεως, καὶ ταῦτ' οὐ μικρὰν δεδωκώς. εἰ δ' ἄρα τις τῶν φαύλων γραφέων διήμαρτεν ἀντὶ σκιροφοριῶνος θαργηλιῶνος μεταβαλών, καθάπερ καὶ ἐπ' ἄλλων συμβαίνει, καὶ μάλιστα ἐπὶ τῶν εἰς πρᾶσιν γραφομένων τοῖς βιβλιοπώλαις, χρῶνται γὰρ φαύλοις καὶ τοῖς τυχοῦσι γραφεῦσιν, ἔφορος μὲν ἀναίτιος ὡς ἂν εἴη. αἰτιάσαιτο δ' ἄν τις τοὺς μὴ ἐπανορθωσαμένους τὴν γραφήν, ἀλλ' ἀνεπισκέπτως εἰρηκότας θαργηλιῶνος ἑπτακαίδεκα ἡμέραις πρὸ τῆς θερινῆς τροπῆς. φησὶ δὲ καὶ ὡς αἱ τὸν ἐνιαυτὸν ἐκεῖνον ἐκπληροῦσαι περιτταὶ ἡμέραι, εἴκοσι τὸν ἀριθμὸν ἦσαν μετὰ τὰς θερινὰς τροπάς. τὸ δ' ἀσύντακτον παντελῶς καὶ μαχόμενον, εἰ ὡς ἀθηναῖοι ἦγον ποιεῖται τὸν λόγον. εἰ γὰρ περιτταὶ εἴκοσι μετὰ τὰς τροπάς, δῆλον ὅτι ἡ τροπὴ ἦν τῷ οἰχομένῳ ἔτει ἕνῃ καὶ νέᾳ θαργηλιῶνος μὲν ὡς ἐκεῖνος λέγει. Σκιροφοριῶνος δέ, ὡς ἡμεῖς. διαφερέτω δὲ μηθὲν πρός γε τὸ νῦν. ἀλλ' ἔστω θαργηλιῶνος αὐτῷ. οὐκοῦν τῷ ἐπιόντι ἐνιαυτῷ ἡ τροπὴ ἔσται, Σκιροφοριῶνος νουμηνίᾳ. ἦν δ' αὐτῷ ἐνάτῃ ἱσταμένου. εἰ γὰρ ὀγδόῃ φθίνοντος τοῦ θαργηλιῶνος ἑάλω τὸ ἴλιον, ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς. δῆλον ὅτι ἐνάτῃ ἱσταμένου τοῦ ἐπιόντος μηνὸς ἦν ἡ τροπή. εἰ δὴ ἡ τροπὴ ἐνάτῃ ἱσταμένου, τρεῖς εἶναι τὰς περιττὰς ἀναγκαῖον. φανερὰ δὲ μᾶλλον ταῦθ' ὕστερον ἔσται ἐπειδὰν περὶ χρήσεως ἐμβολίμου μηνὸς λέγωμεν. εἴτ' οὖν ἐφόρου ἁμάρτημα τοῦτ' ἐστίν, εἴτε γραφέως καὶ τούτου, εἰς κοινὸν ἐκκείσθω σκοπεῖν. ἀπαρτίζειν δ' ἀεὶ τοὺς τῶν ἀθηναίων μῆνας τοῖς τῶν ῥωμαίων, δηλονότι οὐκ ἂν εἴη. ἐπαμφοτερίζειν οὖν τι συμβαίνει. οἷον φέρε εἰπεῖν ἑκατομβαιὼν τὸ μὲν ἰουνίου ἐπιλαμβάνει. τὸ δὲ ἰουλίου. καὶ μεταγειτνιὼν τὸ μὲν ἰουλίου, τὸ δὲ αὐγούστου. καὶ Βοηδρομιὼν τὸ μὲν αὐγούστου, τὸ δὲ Σεπτέμφριος. ὡσαύτως δὲ καὶ οἱ λοιποὶ πάντες ἀμφιλαφεῖς εἰσι τὰ πολλά. ἐπεὶ ἐνίοτέ γε, καὶ ἰσάζειν συμβαίνει. οἷον καὶ τῆτες συμβέβηκε· νουμηνίαν ἅμα Ἀπρίλιος μηνὸς ἡλιακοῦ, καὶ σελήνης ἄγειν. Ἑρμηνεύειν μέντοι ἁπλῶς χρεών, ἀπὸ τοῦ προτέρου, οἷον αὔγουστον τὸν Βοηδρομιῶνα. ἀλλὰ μὴ Σεπτέμβριον, ἵνα θερινὸς ᾖ. τρίτος δ' ἀπὸ ἑκατομβαιῶνος. τροπικὸς δὲ θερινὸς ὁ ἑκατομβαιών, ὡς δεδειγμένον ἐστί. Γαληνῷ δὲ διέφερεν οὐθὲν πρός γε τὸ τῆς ἐλάτης σπέρμα καὶ τὴν σύνθεσιν τοῦ ἀκόπου, εἴτ' ἀπὸ τοῦ ἑπομένου Σεπτέμβριος, εἴτ' ἀπὸ τοῦ ἡγουμένου αὔγουστος. ἑρμηνεύοι τὸν τῶν μυστηρίων μῆνα. ἄλλως τε καὶ τῶν ἰσημερινῶν τε, καὶ τροπῶν περίπου εἰκοστὴν τετάρτην τοῦ μηνὸς ἡμέραν ὡς ῥωμαῖοι ἄγουσι λαμβανομένων τοῖς τότε οὖσιν ἀνθρώποις. καὶ προσέτι ἰσημερινοῦ γινομένου ποτὲ καὶ τοῦ βοηδρομιῶνος. ἐπειδὰν πλείους ὦσιν αἱ μετὰ τὴν τροπὴν περιτταὶ ἡμέραι ὅθεν δὴ καὶ Ἀριστοτέλης μετ' ἀρκτοῦρον περὶ βοηδρομιῶνά φησιν ὥσπερ αὖ ἀνάπαλιν περὶ λήγοντά που τὸν ἑκατομβαιῶνα τῆς τροπῆς γενομένης, συμβαίνει τρυγᾶν τὰς ἀμπέλους περὶ ἱστάμενον τὸν πυανεψιῶνα καθὰ Πλούταρχος ἐπισημαίνει συμβῆναι, ὅτε θησεὺς ἐπανῆκεν ἐκ κρήτης. ἡ ἰσημερία μέντοι περὶ λήγοντά που τὸν μαιμακτηριῶνα ὑπῆρξε. Γαληνὸν δὲ οἰητέον μὴ ὡς Ἀριστοτέλους λέξιν μεταφέροντα ὧδε ποιεῖσθαι τὸν λόγον. ἀλλ' ἰδίαν αὐτῷ δόξαν περὶ τόκου τῶν ἰχθύων ἀποφαινόμενον. θαυμαστόν τε οὐθὲν εἰ καὶ ταῖς χώραις διαφορὰ περὶ τὰς γενέσεις ἐστί. ἀλλὰ δῆλον ὅτι καὶ τῶν ζῴων, ὥσπερ τῶν φυτῶν πολλὴν ποιοῦσι διαφορὰν οἱ τόποι. οὐ μόνον κατὰ μέγεθος καὶ εὐτροφίαν, ἀλλὰ καὶ κατὰ τοὺς τόκους. τοῦ τὰ μὲν ὀψιαίτερον γεννᾶν. τὰ δὲ πρωϊαίτερον. ὧδε μὲν τοίνυν ἁπλῶς τε καὶ πῇ ἑρμηνεύοντες, οὐκ ἂν διαμαρτάνοιμεν τοῦ ἱκανοῦ.

## ΠΕΡΙ ΧΡΗΣΕΩΣ ΤΩΝ ΜΗΝΩΝ.

Ἐπεὶ δ' ἔστι μὲν χρῆσθαι μησὶ καὶ κατὰ τὴν ἡλίου περιφορὰν ὡς ῥωμαῖοι ἄγουσιν. ἔστι δὲ καὶ κατὰ τὴν τῆς σελήνης ὡς ἀθηναῖοι ἦγον, πότερον ἀθηναίοις ἑπόμενοι χρησόμεθα ἢ ῥωμαίοις, κατονομάζοντες μὲν ὡς ἀθηναῖοι. τὴν δέ γε τοῦ ἐνιαυτοῦ εἰς μῆνας διαίρεσιν κατὰ ταὐτὰ ῥωμαίοις τιθέντες. Γλήθων μέν φησιν ὅτι κατὰ φύσιν δὴ ἄγοιτ' ἄν, ἔτος μὲν κατὰ τὸν ἥλιον, μὴν δὲ, κατὰ τὴν σελήνην. διατί δέ, οὐ λέγει. ἄλλοι δέ τινες καὶ αἰτίαν ἀποδιδόντες, πάντα πρὸς τὴν οὐσίαν κοσμεῖσθαι τὰ τῇδέ φασι, καὶ μεγάλα εἶναι τὰ τῆς σελήνης ἔργα. ἀλλοιοῦσθαι γὰρ σαφῶς τὰ ἐπίγεια πάνθ' ὑπ' ἐκείνης. τοῦτο μὲν οὖν εὖ λέγεται. σημεῖον δ' οὐδέν ἐστι τοῦ χρῆναι ἄγειν κατὰ σελήνην, καὶ μὴ καθ' ἥλιόν γε

λιόν γε τοὺς μῆνας. συνεχῆ μὲν γάρ πως τὰ τῆδε ταῖς ἄνω φοραῖς εἶναι φαμὲν καὶ ἡμεῖς. καὶ πᾶσαν αὐτῶν τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν. καὶ τὸ μὲν καλὸν, ἅπαν ὅσον ἂν ᾖ ἐνθάδε καλὸν, καὶ τὸ τεταγμένον, ἄνωθεν ἐγγίνεσθαι φύσει. τὸ δ᾽ ἄτακτον καὶ πεπλανημένον ὑπάρχειν ἐκ τῆς ἐνθάδε ὕλης. ἔστω δὲ καὶ πολλὰ ἄττα ἀλλοιοῦν τὴν σελήνην πλήρη τε οὖσαν καὶ διχότομον καὶ ἀμφίκυρτον καὶ μηνοειδῆ. κεινεῖσθαί τε τὸ περιέχον καὶ μεταβάλλειν τὰ τῆδε κατὰ διαμέτρους, καὶ τετραγώνους, καὶ ὅλως ποιάς τινας στάσεις αὐτῆς. οὐ μὴν δὲ καὶ εὔλογον διὰ ταῦτα ἐῶντας διαιρεῖν τὸν τοῦ ἡλίου ἐνιαυτὸν εἰς μῆνας. καὶ χρῆσθαι ἑτεροῤῥεπεῖν ἤδη τὴν σελήνην καὶ ἑκόντας εἶναι δίϊστασθαι. οὐ δὲ δὴ κατὰ φύσιν τὸ μὲν ὅλον προσήκειν τῷ ἡλίῳ, τὰ δὲ μέρη ἑτέρῳ τῳ μᾶλλον ἐπιβάλλειν ἢ τῷ ἡλίῳ. μέρη γὰρ τοῦ ὅλου ἐνιαυτοῦ οἱ καλούμενοι μῆνες, ἢ ὅτι δήποτε καλεῖν φίλον τὸν εἰς δώδεκα μερισμὸν τῆς τοῦ ἡλίου περιφορᾶς. τὸ δὲ τοῦ ὅλου ποιητικὸν καὶ τῶν μερῶν ταὐτὸ ποιητικὸν ἐξ ἀνάγκης ἐστίν. ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον καὶ τῇ γενέσει πρότερα τοῦ ὅλου, τὰ μέρη. ἔτι δὲ καὶ ἀνωμαλώτερόν τε καὶ ἀτακτότερον τὸ πρὸς τὴν φορὰν τῆς σελήνης ἄγειν. δι᾽ ὃ καὶ συχνὰ ἐπεμβάλλουσι μῆνα οἱ οὕτως ἄγοντες καὶ πράγματα ἔχουσι, τὰ μὲν δωδεκάμηνα, τὰ δὲ τρισκαιδεκάμηνα ποιούμενοι τῶν ἐτῶν. οὐκ οὖν παρὰ φύσιν γε μᾶλλον. τάξις γάρ τις ἡ φύσις. καὶ παρὰ φύσιν πᾶν τὸ πλημμελές τε, καὶ ἄτακτον. τὸ δ᾽ ἀχρηστίαν τοῦ ἡλίου καταγινώσκειν διὰ τὴν τῆς σελήνης δύναμιν καὶ τὰ φαινόμενα, αἴτημα λίαν μέγα ἐστί. καὶ προσέχοντος αἰσθήσει μᾶλλον ἔοικεν εἶναι ἢ λογισμῷ. τά τε γὰρ τῆς σελήνης ἔργα διὰ τὸν ἥλιον ὡς εἰπεῖν, ἅπαντ᾽ ἐστί. τότε μάλιστα κοσμοῦν τὰ τῆδε καὶ ῥυθμίζον, καὶ διατάττον ὁ ἥλιός ἐστι καὶ μὴν καὶ τῆς περὶ τοὺς ἄλλους ἀστέρας εὐκρασίας αἴτιον εἶναι τὸν ἥλιον ἄλλοις τε τῶν ἐνδόξων, καὶ στράβωνι τῷ γεωγράφῳ δοκεῖ. ἐναργέστερα μέν τοι τὰ περὶ τὴν σελήνην συμβαίνοντα κατὰ διαφόρους φάσεις ἐκ τῶν πρὸς τὸν ἥλιον ἀποστάσεων, ἡμῖν ἀπαντᾷ. ὥστ᾽ ἐπιτηρητέα μέν τοι καὶ ταῦτ᾽ ἐστὶν, εἴτε καθ᾽ ἑβδομάδας εἴτε καθ᾽ ἕτερον μῆνα δοκεῖ σεληνιακόν. οὐ μὴν δὲ καὶ μόνοις τοῖς δὲ χρωμένους ἐατέον τοὺς καθ᾽ ἥλιον μῆνας ὁμαλεστέρους ὄντας παρὰ πολὺ καὶ μέρη τῶν ἐκ θεοῦ ὅρων, καὶ τοῦ ὅλου ἐνιαυτοῦ οἰκεῖά τε, καὶ αὐτοφυῆ. κατὰ φύσιν γὰρ ταῦθ᾽ ἁπλῶς, εἴπερ καὶ ἐξ αἰτίου. καὶ προτέρου. καὶ ἀναγκαιοτέρου. τὸ δ᾽ ἀπὸ τῆς σελήνης, γνωριμώτερον ὂν ἡμῖν καὶ σαφέστερον, ὁδός ἐστιν ἤδη τὰ τῇ φύσει γνωριμώτερά τε καὶ τελεώτερα. δι᾽ ὃ καὶ οἱ περὶ καίσαρα τὸν ἐπωνομασμένον τοῖς ῥωμαίοις θεὸν, ταύτην ἰόντες, ἐπὶ τὰ ἀκριβέστερον ἐληλύθασι μηνῶν τε καὶ ἐνιαυτοῦ διατάξεως πέρι. οἱ δ᾽ ἄρα τοῖς ἐν ποσὶ καὶ ἡμῖν σαφεστέροις ἐπιμένοντες διὰ τέλους, ἐοίκασιν οὐ καλῶς κρίνειν τί τὸ δι᾽ αὐτὸ καὶ τί τὸ δι᾽ ἕτερον αἱρετέον. ὅλως τε δεῖ νομίζειν τὰ ὕστερον χρόνῳ μακρῷ διηκριβωμένα περὶ ἀστρολογίαν, πολύ τι τῶν ἀρχαίων διαφέρειν. ἀλλὰ μὴ ἑκόντας ὑπ᾽ αὐθαδείας πρὸ τῶν τελεωτέρων τὰ ἀτελέστερα ἐπαινεῖν ὥσπερ ἐν γήρᾳ τὰ τῶν νέων φρονεῖν ἔτι προαιρουμένους. ἐπεὶ καὶ γαληνὸς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν λόγοις, τὸν ἐνιαυτὸν ἤδη ταῖς πέντε καὶ ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις ἐπικείμενον ἔχειν τι μόριον ἡμέρας μεῖζον, ἢ ὡς τέταρτον λέγει. τὸ δ᾽ οὐ μεῖζον ἀλλ᾽ ἔλαττον εἶναι ταῖς ὕστερον ἐπιτηρήσεσιν εἴρηται. εἰ δ᾽ ἄρα που, μὴ δὲ τὰ περὶ τὴν ἡλίου κίνησιν τἀκριβὲς παντάπασιν ἴσχοι ἡμῖν, ἀλλ᾽ οὖν γε πολὺ τῶν περὶ τὴν σελήνην ἀκριβέστερ᾽ ἐστὶ καὶ τὸ πλημμελούμενον εὐδιορθωτερον. εἴ γε μίαν μὲν διὰ τετραετηρίδος ἡμέραν ἐμβόλιμον. μίαν δὲ σχεδὸν διὰ διακοσιετηρίδος ἐκβόλιμον ποιεῖσθαι, ἀποχρώντως ἂν ἔχοι. ἢ ὁπόσον ἂν διὰ πλείστου οἱ πειρῶντες ἀεὶ τῷ χρόνῳ ἀστρονομίας ἐμπειρότατοι κρίνωσιν. οὐδὲν γὰρ τῷ παρόντι προσίσταται λόγῳ. εἴ τινες ἀμφισβητοῦσι περὶ τοῦ τῶν ἐτῶν πλήθους. ἀναμφισβητήτως γὰρ ἡ ἐπανόρθωσις ἔσται διὰ πλείστου. ὅπως ἂν ἔχῃ.

## ΟΤΙ ΚΑΙ ΤΟΙΣ ΣΟΦΟΙΣ ΔΟΚΕΙ ΒΕΛΤΙΟΝ ΤΑ ΚΑΤΑ ΗΛΙΟΝ ΑΓΕΙΝ.

Ἐπαινεῖ δὲ διαφερόντως καὶ πλούταρχος τὴν καίσαρος ἐπανόρθωσιν δεινὸς ὢν κρῖναι. ὧδε λέγων.

Ἡ δὲ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως ὑπ᾽ αὐτοῦ καὶ τέλος λαβοῦσα, γλαφυρωτάτην παρέσχε χρείαν. Ἡρόδοτος δὲ, καὶ σοφωτέρους οἴεται εἶναι αἰγυπτίους ἑλλήνων παρ᾽ ὅσον οἱ μὲν διὰ τρίτου ἔτους ἐπεμβάλλουσι μῆνα οἱ δὲ τριακονθημέρους ἄγοντες τοὺς μῆνας πέντε ἡμέρας ἐπάγουσιν ἀνὰ ἕκαστον ἔτος. οὐ χεῖρον, δὲ καὶ πάλιν τὴν λέξιν αὐτοῦ παραθέσθαι. ἄγουσι δὲ τοσῷδε σοφώτερον ἑλλήνων ὡς ἐμοὶ δοκεῖ, ὅσῳ ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν. αἰγύπτιοι δὲ τριακονθημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας ἐπάγουσιν ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας. Τὸ δὲ τριακονθημέρους ἄγειν τοὺς μῆνας, κατὰ ἥλιον ἄγειν εἶναι, δηλοῖ στράβων οὑτωσὶ λέγων. Αἰγυπτίων δ᾽ ἐστὶ καὶ τὸ τὰς ἡμέρας μὴ κατὰ σελήνην ἄγειν, ἀλλὰ κατὰ ἥλιον. τοῖς τριακονθημέροις δώδεκα μησὶν ἐπαγόντων πέντε ἡμέρας κατ᾽ ἐνιαυτὸν ἕκαστον. Πλήθων μὲν οὖν πολὺ τούτων ἀπάδει λέγων κατὰ φύσιν εἶναι μᾶλλον

τὸ κατὰ σελήνην ἄγειν τοὺς μῆνας, καὶ τὸν μὲν ἐνιαυτὸν τῷ ἡλίῳ· τοὺς δὲ μῆνας διαιτῶν τῇ σελήνῃ.

## ΠΩΣ ΧΡΗΣΤΕΟΝ ΜΗΣΙ ΚΑΙ ΕΝΙΑΥΤΩι.

Ἡμεῖς δὲ ὀνόμασι μὲν τοῖς εἰρημένοις, καὶ τάξει χρησόμεθα τῶν μηνῶν. πράγμασι δὲ κατὰ τὴν καίσαρος ἐπανόρθωσιν ἧ χρώμενοι ῥωμαῖοι ἄχρι καὶ νῦν, ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν δοκοῦσι. χιλιοστὸν καὶ πεντακοσιοστὸν ὀλίγου δεῖν τόδε ἔτος. λαμβάνειν τε ἀξιοῦμεν, εἴ τινες χρήσιμόν τι ἐφεῦρον τῷ βίῳ, ἐάν τε λατῖνοι ὦσιν οἱ εὑρόντες, ἐάν τε βάρβαροι· οἰκείους τε πάντας νομίζειν, ἀνθρώπους γε ὄντας καὶ μετειληφότας τῆς αὐτῆς ἡμῖν φύσεως. καὶ χάριν ὁμολογεῖν τοῖς εὑροῦσιν, ἀλλὰ μὴ φθονοῦντας ἐρίζειν, καὶ ἐθελοκακεῖν. Ἡμέραις τοιγαροῦν τριακοσίαις, καὶ ἑξήκοντα, καὶ πέντε ὁριζόμενος ἡμῖν ὁ ἐνιαυτὸς ἔσται κατὰ τὴν ἡλίου περίοδον. προστιθεμένου τοῦ καὶ μορίου ἡμέρας ἐπ' ἔλαττον, ἢ ὡς τεταρτημόριον τῷ ἀριθμῷ τῷδε. καὶ μῆνες συμπληροῦντες τὸν τῶν ἡμερῶν ἀριθμόν. οἱ μὲν τριακονθήμεροι. οἱ δὲ μιᾷ ὑπερβάλλοντες τοὺς ἑτέρους ἡμέρᾳ. εἷς δὲ καὶ δυοῖν μὲν ἐλλείπων τῶν τριακονθημέρων. ἑξῆς τριῶν ἐτῶν· μιᾷ δὲ τῷ τετάρτῳ. ἑπτὰ γὰρ οἵδε· Ποσειδεών· Γαμηλιών· Μουνυχιών· Σκιροφοριών. Μεταγειτνιών· Βοηδρομιών· Πυανεψιών, μιᾷ ὑπερβαλοῦσι τοὺς τριακονθημέρους. οἱ δὲ λοιποὶ τριακονθήμεροι πλὴν ἐλαφηβολιῶνος. ὅδε γὰρ ἡμέρας ἕξει εἴκοσι μὲν καὶ ὀκτὼ ἑξῆς τριῶν ἐτῶν, εἴκοσι δὲ καὶ ἐννέα τῷ τετάρτῳ. διὰ τὴν παρεμβαλλομένην ἡμέραν. διατί δὲ τοῖς περὶ καίσαρα οὕτω τὰ περὶ τὰς ἡμέρας διῄρηται, ὡς τουτὶ μὲν τριακονθήμερον εἶναι. ἀλλὰ μὴ τονδί. τονδὶ δ' ὑπερβάλλειν. τονδὶ δ' ἐλλείπειν, ἑτέρας ἐστὶ θεωρίας.

## ΠΕΡΙ ΤΗΣ ΕΜΒΟΛΙΜΟΥ ΗΜΕΡΑΣ.

Μῆνα μὲν οὖν οὐδένα ἐπεμβαλοῦμεν οὐδέποτε. μίαν δὲ διὰ τετραετηρίδος ἡμέραν τῷ ἐλαφηβολιῶνι. καθάπερ τῷ φεβρουαρίῳ ῥωμαῖοι βίσεκτον. οὕτω καλοῦντες ἐκ τοῦ δὶς τὴν αὐτὴν ἡμέραν προσγράφειν ἕκτην πρὸ καλανδῶν μαρτίων δόξαν οὕτω Καίσαρι σεβαστῷ. ἡμεῖς δ' ὀνόματι χρῆσθαί τῳ οὐδεόμεθά γε τοιούτῳ· ἐμβόλιμον γὰρ μόνον καὶ αὐτὴν προσαγορεύειν καλῶς ἔχει ἡμῖν. περὶ δὲ τῆς ἐκβολίμου, σκεπτέον. καὶ ὅτι ἂν δοκῇ· παρακαλεῖν δέον καὶ λατίνους ταυτὸ δεχομένους ἐπανορθοῦσθαί σφισι τὸν ἐνιαυτόν, ἵνα συμφωνῶμεν. ἐμβολίμου γάρ τοι ἡμέρας, χρόνου ἤδη μακροῦ διελθόντος, μὴ γενομένης, πολύ τι δὴ προτερεῦσιν αἱ τροπαὶ ἐφ' ἡμῶν τῆς ἐξ ἀρχῆς τροπικῆς ἡμέρας γε τοῦ μηνός. οὔπω μὲν οὖν ἀκτέον τοὺς μῆνας χρωμένους ὀνόμασι τοῖς ἀποδοθεῖσιν.

## ΠΕΡΙ ΑΡΧΗΣ ΤΟΥ ΕΝΙΑΥΤΟΥ.

Ἀρχὴν δὲ τοῦ ἐνιαυτοῦ, οἱ μὲν ἀθηναῖοι τὸν ἑκατομβαιῶνα ἦγον μῆνα ὡς δέδεικται πρότερον. ὡς ἀπὸ τροπῶν θερινῶν. ῥωμαῖοι δὲ τὸν Ιανουάριον ὡς ἀπὸ τροπῶν χειμερινῶν, ἣ δὴ καὶ οἰκειοτέρα δοκεῖ εἶναι ἀρχή. καὶ εὖ τήνδε ἐπαινεῖ πλήθων. νόμῳ γὰρ ἄλλων ἄλλην τοῦ ἔτους ἀγόντων ἀρχήν, φύσει πως ἔοικεν αὕτη οὖσα ἀρχή. ἡνίκα δὲ ἥλιος ὁ τῆς γενέσεως κύριος, τοῦ πρόσω ἰέναι λήγων ἀνακάμπτειν ἔρχεται ὡς ἡμᾶς. καὶ τὸν μὲν τοῦ φωτὸς αὔξει χρόνον. τὸν δὲ τοῦ σκότους μειοῖ. ὀρθῶς οὖν καὶ Νομᾶς ἀρχὴν τοιαύτην ῥωμαίοις τέταχε. ῥωμύλου πρότερον τὸν μάρτιον προτάξαντος μῆνα. καὶ ἡμῖν δὴ ἀρχὴ αὕτη ἔστω. καὶ νέος τοῦ ἐνιαυτοῦ μήν, γαμηλιών· ἵνα καὶ συμφωνῶμεν ῥωμαίοις ὥσπερ καὶ τὰ περὶ τοὺς μῆνας, καὶ τὰ περὶ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ. ὅδε γὰρ Ιανουάριος ἦν. Νῦν δ' ἕλληνες ἀρχὴν ἐνιαυτοῦ τε καὶ ἰνδικτιῶνος ποιούμενοι ἀπὸ ἰσημερίας φθινοπωρινῆς, τὰ μὲν περὶ ἰνδικτιῶνα, δηλοῖ δὲ διάταγμα ἡ λέξις, συνᾴδουσι ῥωμαίοις. τὰ δὲ περὶ τὸν ἐνιαυτόν, οὔ. καί τοι συμφέρεσθαι ἔδει καὶ ταῦτα· ἄλλως τε καὶ χριστοῦ νόμοις χρωμένους. οὐ γὰρ οἶμαι ῥωμαίους τούς γε νῦν ὄντας διὰ τὴν ἡλίου τροπὴν μᾶλλον ἢ τὸ, τότε γεννηθῆναι χριστὸν οὕτως ἄγειν. ἀλλὰ τὴν μὲν τροπὴν συμβεβηκέναι· αὐτοὺς δὲ τὴν γένεσιν πρεσβεύοντας τοῦ θεοῦ ἡ θέμις, ἀρχὴν ποιεῖσθαι τὴν εἰρημένην. ἐνιαυτοῦ μὲν ταύτην θετέον ἀρχήν.

## ΠΩΣ ΑΡΙΘΜΗΤΕΟΝ ΤΑΣ ΤΟΥ ΜΗΝΟΣ ΗΜΕΡΑΣ.

Ἀριθμεῖν δὲ τὰς μηνὸς ἑκάστου ἡμέρας, πλήθωνι μὲν δοκεῖ εἰς τέτταρα διαιροῦντας τὸν μῆνα, τὸ μὲν ἱστάμενον, τὸ δὲ μεσοῦν, τὸ δὲ φθῖνον, τὸ δὲ ἀπιόν. λαμβάνοντι ὡς ἔοικε τὸ μὲν παρὰ πολυδεύκους τὸ δέ τι καὶ αὐτῷ καινοτομοῦντι, εὐμαρέστερον γὰρ οἶμαι διατίθεσθαι τὰ περὶ τὰς ἱερομηνίας οὕτω συνέβαινε, καὶ τἆλλα καθισταμένῳ ἱερά. ἡμῖν δὲ διαφερέτω μηδὲν διαριθμεῖν ὡς ἀθηναῖοι τριχῆ διαιροῦντες, τὸ μὲν ἱστάμενον ἔλεγον. τὸ δὲ ἐπὶ δέκα. τὸ δὲ φθῖνον. ἐπειδὴ καὶ συνῳδά πως οὕτω μᾶλλον ῥωμαίοις ἔσται τὰ περὶ τὴν διαίρεσιν ἡμῖν. τριχῆ γὰρ

καὶ οὗτοι

καὶ οὗτοι διαιροῦντες, τὸ μὲν καλένδας προσαγορεύουσι· τὸ δὲ, νώνας· τὸ δὲ εἰδοὺς. ἀριθμητέον οὖν ὧδε. Νουμηνίαν μὲν τὴν πρώτην· εἶτα δευτέραν ἱσταμένου, καὶ τρίτην καὶ ἑξῆς εἰς τὸ πρόσω ἰόντι ἄχρι δεκάτης· μεθ' ἣν πρώτην ἐπὶ δέκα. εἶτα δευτέραν ἐπὶ δέκα· καὶ ἑξῆς ἄχρι εἰκοστῆς· ἡ αὐτὴ δὲ καὶ εἰκάς· μεθ' ἣν ἐνδεκάτην φθίνοντος, ἢ δεκάτην, ἢ ἐνάτην· ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μὴν, καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. οὕτω γὰρ ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες ἀλλ' ἀφαιροῦντες, καὶ ἀναλύοντες μέχρι τριακάδος. Σόλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. καὶ Ἀριστοφάνης δὲ ὁ κωμικὸς οὕτως ἀριθμεῖ· πέμπτη· τετρὰς. τρίτη. μετὰ ταύτην, δευτέρα· εἶθ' ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν δέδοικα· εὐθὺς ἔθ' ἕνην τε καὶ νέαν. μετὰ δὲ δευτέραν, ἀκτέον ἕνην. χρεία δ' ἕνης, καὶ νέας οὐκ ἔσται ἡμῖν, διὰ τὸ μὴ κατὰ σελήνην ἄγειν. ἕνην δὲ τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν καλεῖν καὶ ἡμᾶς κωλύει οὐδὲν· ὅτι καὶ νέα ἡ πρώτη. πλείους τε αἱ φθίνοντος γίνονται ἡμέραι. καὶ ἔσθ' ὅτε ἐλάττους τῶν ἀττικῶν διὰ τὸ τοὺς μὲν τριακονθημέρους τῶν μηνῶν ἡμῖν εἶναι· τοὺς δὲ, μιᾷ ὑπερβάλλειν τῶν ἑτέρων ἡμέρᾳ. ἕνα δὲ καὶ δυεῖν μὲν ἐλλείπειν τῶν τριακονθημέρων ἑξῆς τριῶν ἐτῶν· μιᾷ δὲ τῷ τετάρτῳ ὡς εἴρηται πρότερον· οἱ μὲν οὖν ἐνδεκάφθινοι. οἱ δὲ δεκάφθινοι· εἷς δὲ καὶ ὀκτάφθινος· καὶ ἐνάφθινος· ἑπτὰ μὲν γὰρ οἵδε· Ποσειδεών. Γαμηλιών. Μουνυχιών. Σκιροφοριών. Μεταγειτνιών. Βοηδρομιών. Πυανεψιών, ἕνδεκα ἕξουσι φθίνοντος ἡμέρας. δέκα δὲ οἱ λοιποὶ πλὴν ἐλαφηβολιῶνος. οὗτος γὰρ ὀκτὼ μὲν ἑξῆς τριῶν ἐτῶν ἐννέα δὲ τῷ τετάρτῳ. καὶ μὴν εἴ τις τὸ φθίνειν, καὶ ἵστασθαι ἴδιον εἶναι λέγοι σελήνης ἐνθυμείσθω, διότι καὶ ἐπ' ἄλλων πολλῶν χρῆσις ἀπ' ἄλλων μεταληφθεῖσα κεκράτηκεν ἀκυρόλογος· οἷον καὶ τὸ χαλκεύειν, καὶ χορηγεῖν, καὶ δημιουργεῖν· ὠνομάζετο δέποτε καὶ βιβλία μόνον, τὰ ἐκ τῆς βύβλου τῆς ἐν αἰγύπτῳ φυομένης παπύρου γινόμενα. νῦν δὲ καὶ τὰ ἐκ λίνου ῥάκους κατεργασθέντος πιλήματα διάκολλα ἐν οἷς γράφομεν, τοὔνομα ἔχει τοῦτο. καὶ σχοινίον πρόσθεν τὸ ἐκ σχοίνου τῶν ἑλείων φυτοῦ. νῦν δὲ καὶ τὸ ἐκ λίνου καὶ ἐρίων πρὸς τὴν αὐτὴν χρείαν κλωσθόμενον, σχοινίον προσαγορεύεται. καὶ αὐθέντης δὲ ὁ αὐτόχειρ μόνον ἐλέγετο πάλαι, νῦν δὲ καὶ ὁστισοῦν αἴτιος, καὶ δημιουργὸς εἴτ' οὖν αὐτουργὸς καὶ ἐπιστάτης πράγματος οὑτινοσοῦν, αὐθέντης καλεῖται. ὑπὲρ τὰ χίλια δὴ ἔτη κεκρατηκότος τοῦ τοιοῦδε σημαινομένου. ἐπειδὴ ῥωμαίοις θαμὰ δὴ ὁμιλοῦντες ἕλληνες συνίδιον τὴν σφετέραν αὐτῶν φωνὴν ἔτι δεομένην τοῦ γε ἀνάλογον ἂν τῷ αὐτὸ ὀνόματι τῶν ῥωμαίων ἀκριβέστερον προσοικειουμένου ταῖς χρείαις· οὕτω γὰρ βιαζόμενοι ὡς εἰκὸς πράγματι συχνὰ ἥκοντι εἰς χρείαν ὄνομα ἰδιαίτερον θέσθαι, τὸ αὐθέντης δὴ εἰς τοῦτο ἀλλοτριονομοῦντες μετενηνόχασι.

Βασίλειος οὖν τῶν ἡμετέρων ἱεροφαντῶν ἐπὶ ἰουλιανοῦ αὐτοκράτορος γενόμενος ἀνὴρ καὶ τὴν φωνὴν οὐχ ἧττον ἢ τὴν διάνοιαν κεκοσμημένος, τὰ τοῦ θείου πνεύματος χαρίσματα, οὐ λειτουργικῶς ἀλλ' αὐθεντικῶς γίνεσθαι λέγει. καὶ Συνέσιος φιλόσοφος τῶν λογιωτάτων μικρὸν ὕστερον ἐπὶ Θεοδοσίου, πυνθανόμενος Πατριάρχου Θεοφίλου εἰ χρὴ νομίζειν ἐπίσκοπον ἀλέξανδρόν τινα, χειροτονηθέντα ὑπὸ Ἰωάννου τοῦ μετὰ ταῦτα νομισθέντος ἁγίου, καὶ ἐπονομασθέντος Χρυσοστόμου. ποτὲ δὲ διά τινα συμβᾶσαν διαφορὰν καὶ στάσιν τῶν ἐκκλησιῶν ἀφορισμένου γνώμῃ συνοδικῇ, ᾧ δ' ἐπιφέρει. Πρὸς ὃ δεῖ τὴν αὐθεντίαν τῆς ἀποστολικῆς διαδοχῆς ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς. οὐ μὴν ἀλλὰ καὶ ῥωμαῖοι ὡς πλούταρχος ἱστορεῖ τὴν εἰς τρία διαίρεσιν τοῦ μηνὸς πρὸς τὰς μεγίστας τρεῖς διαφορὰς τῆς σελήνης τυγχάνουσι πρότερον πεποιηκότες· καλένδας μὲν τὴν νουμηνίαν καλέσαντες, ὅτι περὶ τὴν σύνοδον οὖσα τόθ' ἡ σελήνη ὥσπερ λέληθεν ἐπιλελοιπότος δὴ παντελῶς τοῦ φωτὸς. τὸ γὰρ κλὰμ ῥωμαίοις τὸ λάθρα διασημαίνει ὅθεν τὰς καλένδας ὠνομάσθαι φησὶ, νώνας δὲ, ὅταν καταφανὴς πρῶτον ἐπὶ δυσμῶν γίνηται νέα· εἰδοὺς δὲ ὅταν πανσέληνος οὖσα εὐειδεστέρα τὴν ὄψιν ᾖ. ἀλλ' ὅμως ὕστερον. Καί τοι καθ' ἥλιον ἄγοντες τοὺς μῆνας, ὅμως ὁρίζοντες τὸν χρόνον, καλένδας. καὶ νώνας. καὶ εἰδοὺς ἔτι καλοῦσιν, ὀνόμασι καταχρώμενοι οἷς πρότερον ἄγοντες κατὰ σελήνην ἐχρῶντο κυρίως. οὐδὲν δὴ ἄτοπον οὐδ' ἡμῖν εἰ ἱστάμενον λέγοιμεν, καὶ φθίνοντα μὴ κατὰ σελήνην ἔτι ἀλλὰ κατὰ ἥλιον ἄγοντες. ἀνάλογον τοίνυν ἡμῖν ἕξει. νουμηνία μὲν ταῖς καλένδαις. τὸ δὲ ἱστάμενον, ταῖς πρὸ νώνων. τὸ δ' ἐπὶ δέκα, ταῖς πρὸ εἰδῶν. τὸ δὲ φθῖνον, ταῖς πρὸ καλενδῶν. ὡς δ' ἡμῖν οὐκ ἔτι χρήσιμος ἕνη καὶ νέα, οὕτως οὐδὲ ῥωμαίοις τὸ ἰντερλούνιον. τὴν γὰρ ἡμέραν ἧς τὸ μὲν τῷ λήγοντι μηνὶ τὸ δὲ τῷ ἀρχομένῳ προσήκει κατὰ σελήνην, ῥωμαῖοι οὕτως καλοῦσι. Ταῦτα μὲν δὴ οὕτω λαμβανόμενα, εὖ ἂν ἔχοι. οὐκ ἀφαιρεῖται δ' ὁ λόγος οὐδὲ ἰδιώτας τὴν τῶν ἡμερῶν τῆς σελήνης γνῶσιν, ὁπόσται ἑκάστοτε. πολὺ γάρ τι συμβάλλεται εἰς τοῦθ' ἡ τῶν ἡμερῶν τοῦ καθ' ἥλιον μηνὸς εἴδησις. καὶ ῥᾴδιον προστιθέντι ταῖς ἐπακταῖς, εὑρίσκειν τὸν ἀριθμόν. τὸ δ' ἀκριβὲς οὐκ ἀπαιτητέον ἐν τούτοις. ἐπακταὶ ἐφ' ὧν α. ἀριθμὸς ἡμερῶν ἐπαγομένων ἡλιακοῦ μηνὸς, ἐφ' ὧν κ. ἀριθμὸς μηνῶν ἐπαγομένων ἐνιαυτοῦ, ἀπὸ μουνυχιῶνος ἀρχομένου, ἐφ' ὧν, γ. γινόμενος ἀριθμὸς ἐκ τῶν α. β. γ. ὁμοῦ ληφθέντων, ἐφ' ὧν δ. ὑπερέχων τῶν τριάκοντα ἐφ' ὧν ε. ὑπεροχὴ ἐφ' ὧν ζ σελήνης ἡμερῶν ἀριθμὸς ἐπαγομέ-

νεον, ἐφ' ᾧ η̅. τὸ δὴ δ̅, ἔσται ἴσον τῷ η̅. ἐὰν μὴ τὸ ε̅, ὑπάρχῃ, τῷ η̅. ἐὰν δ' ὑπάρχῃ, τὸ ε̅. ἔσται ἴσον τῷ δ̅. τὸ δὲ α̅, ληπτέον ὅτι ἐστίν. ἱκανὸν γὰρ ὡς πρὸς τοὺς πολλοὺς τὸ ὅτι. ἔστι δ' ἄρα εἴκοσι καὶ ὀκτώ, τοῦ νῦν παρόντος ἡραρχικοῦ ἔτους. ἐπαυξέσθω δὲ καθ' ἕκαστον ἔτος ἡραρχικὸν, προσθέσει τῶν ἕνδεκα. καὶ ἐπειδὰν τῶν τριάκοντα ὑπερέχῃ, εἰλήφθω ἡ ὑπεροχὴ α̅. καὶ οὕτω δὴ ἐπαυξόντι αἰεὶ καὶ λαμβάνοντι, ληπτέον τὸ α̅. πρόσθεσις ἐφ' ᾧ θ̅. ἑτέρα ὑπεροχὴ ἐφ' ᾧ ι̅. προσληφθέντος δὴ τοῦ θ̅. τῷ α̅, ἔσται τὸ α̅. ὡς ἐννέα τοῦ ἐπιόντος ἡραρχικοῦ ἔτους. καὶ πάλιν προσληφθέντος, ἔσται ὡς εἴκοσι τοῦ ἐφεξῆς ἔτους. εἶτα ὡς μία τοῦ μετὰ ταῦτα. τὸ γὰρ ι̅. δὴ ὡς μία καὶ οὕτως ἀεί. ἐπιστημονικώτερον δὲ ὧδε.

## ΕΥΡΕΣΙΣ ΤΩΝ ΕΠΑΚΤΩΝ.

Διῃρείσθω παρὰ ἐννεακαίδεκα τὰ ἀπὸ γενέσεως τοῦ θεοῦ ἀπαγόμενα ἔτη. προσκειμένου τούτοις καὶ ἑνὸς ἐπὶ ἑτέρου ἔτους. εἰλήφθωσαν δὲ αἱ ὑπὲρ τὰς ἐννεακαιδεκάδας περιττεύουσαι. ἡμέραι καὶ πολυπλασιασθήτωσαν ἐπὶ τὸν ἕνδεκα. εἶτα διαιρεθήτωσαν παρὰ τριάκοντα. αἱ γὰρ ὑπὲρ τὰς τριακοντάδας πλεονάζουσαι τὸ α̅, αἱ ἐπακταί εἰσιν. οἷον χίλια μὲν καὶ τετρακόσια καὶ ἑβδομήκοντα νῦν τὰ ἀπὸ θεογονίας ἔτη. προσκείσθω δὲ τούτοις καὶ ἕν. διαιρεθέντων δὴ τούτων παρὰ ἐννεακαίδεκα, δῆλον ὅτι ὀκτὼ αἱ πλεονάζουσαι. ληφθεισῶν δὲ τῶν ὀκτὼ ἐπὶ τὸν ἕνδεκα, ὀγδοήκοντα καὶ ὀκτὼ γίνεται τὸ ἐκ τούτων. διαιρεθέντος δ' αὖ τούτου εἰς τριακοντάδας, τὸ πλεονάζον ἔσται εἴκοσι καὶ ὀκτώ. ὅπερ δ' ἦν α̅. τοῦ νῦν παρόντος ἐνιαυτοῦ, ἀνάλογον δὲ καὶ τὸ λοιπὸν αἰεὶ ἡ εὕρεσις ἔσται τοῦ α̅. πάλιν δὴ καὶ οὕτω λαβόντα τὸ α̅, προσθετέον αὐτῷ τὸ β̅. καὶ γ̅. τότε σύνολον τὸ δ̅, ῥητέον εἶναι τὸ η̅. ἐὰν μὴ ὑπερέχῃ τῶν τριάκοντα. ἐὰν δὲ ὑπερέχῃ, τὴν ὑπεροχὴν εἶναι λεκτέον. ἀλλὰ μὴν οὐδὲ ταῖς ἱερομηνίαις ἐμποδὼν καθίσταται τούτων οὐθέν. τοῦ γὰρ ὅλου ἐνιαυτοῦ διαιρουμένου εἰς πεντήκοντα καὶ δύο ἑπτάδας, ἐκ τεττάρων δὴ καὶ ἡμῖν τῶν μηνῶν ἕκαστος ἔσται ἑπτάδων. ἔξω τῶν ὑπεραριθμίων γε ἡμερῶν. καὶ τέτταρας ἕξει τὰς ἁγιωτάτας τῶν ἱερομηνιῶν δι' ἑβδόμης μίαν. πλὴν εἰ ἄρα ἀπὸ κυρίας ἄρχοιτο προτέρων. ἢ μεταξὺ τῆς ἑπτάδος που ὑστέρων. ἐξ δὲ ὁ τοῦ πλήθωνος ἔχων, πλέον τι τοῦ δέοντος ἀφαιρεῖται τῶν ἀναγκαίων ἔργων τῇ πόλει. ἀργεῖν γὰρ ἀνάγκη τοὺς ἄγοντας ἱερομηνίαν. καὶ ἅμα τρεῖς ἐφεξῆς ἱερομηνίας, συμβαίνει ποιεῖσθαι. ἣν μὲν Πλούτωνι. ἣν δὲ καὶ νέαν ἐπὶ τῇ ἑαυτῶν ἐπισκέψει. νουμηνίαν δὲ τῷ διί. ὅπερ δὲ προσκορὲς ἂν εἴη οὕτω συμβαῖνον. βέλτιον οὖν διαλείποντας ἄγειν. τῶν γὰρ ἐκ διαλειμμάτων, ἡδέων μὲν ὄντων, ἡδίων ἡ αἴσθησις. λυπηρῶν δὲ εὐφορητότερα. ὀλίγας τε ὡς ἐνὶ μάλιστα ἄγειν ἑορτάς. οὐ γὰρ τῶν φαύλων πολιτευμάτων ἐστὶ καὶ τὸ πολλὰς ἄγειν. καὶ σημεῖον οὐ θεοσεβείας, ἀλλὰ τρυφῆς ἐστι. τίνες δ' ἂν εἴησαν ἱερομηνίαι. πλήθωνι μὲν ἥρμοττε φάναι. ὡς δὴ τισιν ἑτέραις τῶν ἡμῖν νομιζομένων νομοθετοῦντι. ἡμῖν δὴ ἥκιστα δεῖ. ἄλλως τε καὶ μὴ περὶ τούτου νῦν ὄντος τοῦ λόγου. δῆλον γὰρ ὅτι τὰς νομιζομένας τέτταρας ἕξει τῶν μηνῶν ἕκαστος θεῷ τῷ αὐτῷ ἀναστάντι. ἄμεινον γὰρ εἰς ἐλάττω ὡς ἂν μάλιστα ἢ συναιρεῖν τὰ περὶ τὸ θεῖον. τῇ δ' ἡμῶν αὐτῶν ἐπισκέψει ἱερομηνίαν ὁρίσαι ἀνὰ ἕκαστον μῆνα καὶ ἅπαξ τοῦ μηνὸς ἐπίσκεψιν ποιεῖσθαι τῶν πεπραγμένων ἡμῖν ὡς ἀξιοῖ πλήθων, οὐχ ἡμεῖς γε φαμέν. ἀλλὰ καθ' ἡμέραν ἑκάστην τοῦτο ποιεῖσθαι ἄνευ ἱερομηνίας. νύκτωρ ἐπὶ ὕπνῳ ἱκανῷ καὶ τροφῆς πέψει τῇ πρώτῃ. ἀναλογιζομένους τί δή ποτε πεπραχότες τῇ προτεραίᾳ ἐσμέν. κἄν τι ᾖ πεπλημμελημένον. ἕωθεν εὐθὺς ἢ ὅσιον ἐπανορθωσαμένους, λογίων ἀκροάσει καθαρτικῶν, καὶ ἐπόπτας τῶν ἁγιωτάτων ἱερῶν γενομένους. ἐνίοτε δὲ μοίρας ἀγαθῆς καὶ τοῦ θύματος γευσαμένους, ἐπ' ἔργον πορεύεσθαι ἀπὸ τοιαύτης ἀρχῆς. ἀλλὰ περὶ μὲν τούτων, ἐν ἄλλοις.

## ΠΩΣ ΑΡΙΘΜΗΤΕΟΝ ΤΑΣ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΗΜΕΡΑΣ.

Υπάρχει δὲ καὶ τὰς τῆς ἑπτάδος ἡμέρας ἀριθμεῖν ἤτοι ὡς οἱ νῦν ἕλληνες. τὴν μὲν πρώτην, κυρίαν καλοῦντας. τὴν δὲ δευτέραν, τοῦτ' αὐτὸ δευτέραν. εἶτα τρίτην τετάρτην. πέμπτην. ἕκτην. ἑβδόμην. ἢ ὡς οἱ νῦν ῥωμαῖοι κατὰ τοὺς πλανήτας τῶν ἀστέρων. μετὰ τὴν κυρίαν. σελήνης ἡμέραν. εἶτα ἄρεως. εἶτα ἑρμοῦ. εἶτα διὸς εἶτα ἀφροδίτης. εἶτα κρόνου. Τὸ δὲ παρασκευὴν μὲν τὴν ἕκτην. σάββατον δὲ ὀνομάζειν τὴν ἑβδόμην, οὐκ ἔχει ὡς ἔοικε λόγον ἡμῖν. ἀλλὰ ἰουδαίοις ἴσως. παρεσκευάσθαι γὰρ ἐκείνους πρὸ τοῦ σαββάτου δεῖ ὡς δὴ μηδενὸς ἔργου ἁπτομένους ὑπὸ δεισιδαιμονίας τῇ ὑστεραίᾳ. ἡμῖν δὲ οὐθὲν δεῖ. οὔτε γὰρ τῇ ἑβδόμῃ ἀργοῦμεν ἡμεῖς τῇ καλουμένῃ σάββατον ἰουδαίοις, ἀλλὰ τῇ πρώτῃ, κυρίᾳ ἡμῖν οὔσῃ, καὶ ἱερομηνίᾳ χριστῷ ἀναστάντι, οὐδ' οὕτως ἀργοῦμεν ἄγοντες ἑορτὴν ὡς μηδ' ἑψῆσαί τι, καὶ τράπεζαν παραθέσθαι θεμιτὸν εἶναι, ἀλλὰ δεῖν παρασκευάσασθαι πάντα τῇ προτεραίᾳ. οὐκοῦν οὔτε τι χρήσιμον. οὔτ' ἄλλως εὔσχημον ἡμῖν τὰ ἰουδαίων ταῦτα ὀνόματα εἰς καταρίθμησίν γε ἑβδομάδος τῆς ἡμετέρας λαμβάνειν. οὐδὲ δή, καὶ τὸ σάββατον οὖν ὁμοίως ἔχει τῷ ὡσαννᾶ. καὶ τῷ σαβαώθ. ἅπερ ἔκφυλα μὲν καὶ ταῦτα ἐπιφωνεῖται δ' ὅμως ἐν ταῖς ἱεροποιΐαις ἑκάστοτε παρὰ τῶν ζακόρων ἐπάναγκες. τὰ μὲν γὰρ ἐξωσιωμένα δὴ τοῖς κυριωτάτοις καὶ μεγίστοις τῶν ἱερῶν ὄντα κατά τι ἀπόρρητον, μὴ οὐ θεμιτὸν ᾖ παραλλάττειν. τὸ δέ, περιείργασθαι καὶ μη-

δεμίαν

δὲ μίαν ἔχον ἀνάγκην, ἰουδαΐζει. ἡμεῖς μὲν τοίνυν περὶ μηνῶν τε, καὶ ἡμερῶν, καὶ ἐνιαυτοῦ οὕτως χρῆσθαι μάλιστα ἀξιοῦμεν.

## ΠΩΣ ΔΕΙ ΑΓΕΙΝ ΤΟΥΣ ΧΡΟΝΟΥΣ ΚΑΤΑΘΗΝΑΙΟΥΣ.

Εἰ δὲ τῷ διαφέροι ἄγειν ὡς Ἀθηναῖοι, τῇ μὲν τάξει χρήσεται δὴ τῇ ἐπιδειχθείσῃ, ἣν ἔτι ὁ λόγος ὅδε διαιρεῖ. ἀρχὴν δὲ τάξας τοῦ ἔτους τὰς θερινὰς τροπὰς, ὁριεῖ τῶν μηνῶν τοὺς μὲν τριακονθημέρους, καὶ πλήρεις. τοὺς δὲ μιᾷ τῶν ἑτέρων λειπομένους ἡμέρᾳ ἐναλλὰξ παρ' ἕνα. ὡς ἡμισέος που ἐνδέοντος μιᾶς πρὸς τὸ τριακονθήμερον εἶναι τὸν τῆς σελήνης μηνιαῖον χρόνον. ἀριθμήσεται δὲ τὰς ἡμέρας ἄχρι τῆς εἰκοστῆς, ὃν εἴρηται τρόπον. μετὰ δὲ ταύτην δεκάτην φθίνοντος, εἰ πλήρης ὁ μὴν εἴη, εἶτα ἐνάτην. καὶ ἑξῆς ἀναστρέφων ἄχρι δευτέρας. μεθ' ἣν, ἕνην καὶ νέαν. εἰ κοῖλος ὁ μὴν ἐνάτην φθίνοντος καὶ ἑξῆς τὸ ἀνάλογον. ὡς καὶ Πολυδεύκης ἀριθμεῖ. οὐχ ἱκανὸς δὲ διότι κοίλου μόνου καταλέγει ἡμέρας. πλήθων δὲ ἕνην μὲν τὴν εἰκοστὴν ἐνάτην. ἕνην δὲ καὶ νέαν τὴν τριακοστὴν λέγων, οὐδὲν ἀπᾷδον ἡμῶν φησι, τό γε περὶ τὸ πρᾶγμα. ἣν γὰρ δευτέραν φθίνοντος ἡμεῖς ἀριθμοῦμεν, ἕνην καλεῖ, ἣν ἴσως αὐτῷ ἱερομηνία οὖσα τῷ Πλούτωνι, αὐτόθεν δὴ καὶ τῆς προσηγορίας τὸ σεμνὸν ἔχει καὶ τραγικόν. δεῖ γάρ καί τινος τοιούτου τοῖς περὶ τὰ ὅσια πραγματευομένοις. πειρατέον δὲ κατὰ σελήνην ἀριθμεῖν τὰς ἡμέρας. ἐπεὶ καὶ τὸ τῶν μηνῶν τοὺς μὲν πλήρεις τοὺς δὲ κοίλους λαμβάνειν, τοῦτο βούλεται. οὐχ ἱκανὸν δὲ, ἀλλὰ δεῖ που καὶ ἄλλ' ἄττα πραγματεύεσθαι συχνὰ, εἰ μέλλοι σώζεσθαι τὸ ὁμόλογον. χαλεπὸν δὲ διὰ τὴν πολλὴν τῆς σελήνης ἀταξίαν. διόπερ οὐδ' Ἀθηναῖοι φαίνονται κατορθοῦντες ὡς ἔστι τεκμήρασθαι καὶ ἐξ ὧν δὴ ὁ κωμικὸς ποιεῖ τὴν σελήνην θυμαίνειν. ὅτι οὐδὲν κατὰ σελήνην ἦγον τὰς ἡμέρας Ἀθηναῖοι ὀρθῶς. ἀλλ' ἄνω τέ καὶ κάτω ἐκυδοιδοπῶν. οὕτω γὰρ κέχρηται τῇ λέξει. πειρατέον μέντοι κατὰ τὸ δυνατὸν διορθοῦσθαι χρωμένους τοῖς ἐμπειροτάτοις ἀεὶ τῶν ἀστρολογικῶν θεωρημάτων συμβούλοις.

## ΠΕΡΙ ΕΜΒΟΛΙΜΟΥ ΜΗΝΟΣ.

Καὶ μὲν δὴ καὶ μηνὸς ἐμβολίμου δεήσει τοῖς Ἀττικοῖς ἔτεσι καθάπερ εἴρηται πρότερον, ἵν' οἱ μῆνες συμβαίνοντες διατελῶσι ταῖς ὥραις. ἐπεμβλητέον δ' ἄρα αὖθι σκιροφοριῶνι μηνὶ τριάκοντα ἡμέρας. μάρτυρες δὲ τούτων Μακρόβιος ῥωμαῖος συγγραφεὺς, καὶ Ἡρόδοτος. ὁ μὲν λέγων ἐν τοῖς κρονείοις τῶν συγγραμμάτων μεθερμηνευόμενος Γλαυκίππον ἐν τοῖς περὶ τῶν Ἀθήνησιν ἱερῶν καὶ ὁσίων ὑπομνήμασι φάναι Ἀθηναίους τὰς περιττὰς ἡμέρας τῷ τελευταίῳ ἐπεμβάλλειν μηνὶ τοῦ ἐνιαυτοῦ. τελευταῖος δὲ σκιροφοριὼν ἦν. ὁ δὲ αὖ ἐκ τούτων διασαφῶν τριακονθήμερον τὸν ἐμβόλιμον εἶναι. εἰ δὲ δὴ ἐθελήσει τοῦθ' ἕτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι εἰς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριακονταπέντε. Ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων, χίλιαι καὶ πεντήκοντα. Διὸ ὁπόσου δὲ χρόνου ἐπεμβλητέον, εἴπερ Ἡροδότῳ πείθεσθαι ἀξιοῖ, αὐτόθεν ἐκ τῶν νῦν δὴ παρατεθέντων, ἔχει λαβεῖν τὸ ζητούμενον. Ἐναλλὰξ γάρ τοι παρ' ἕνα γίνεσθαι τὸν ἐμβολασμὸν δηλοῖ τοῦθ' ἕτερον τῶν ἐτέων λέγων καὶ τριακονταπέντε μῆνας ἐμβολίμους τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμῶν. ἡ τοῦτο μὲν ἴσως δεῖται σκέψεως, πῶς ἂν θατέρῳ ἀεὶ τῶν ἐτῶν ἐπεμβαλλομένων τριάκοντα ἡμερῶν, συμβαίνοι τοὺς μῆνας ὁμολογεῖν ταῖς ὥραις ἀεί. ἐπεὶ δὲ μάτην ἂν γίνοιτο διὰ πλειόνων τὸ δι' ἐλασσόνων δυνάμενον γίνεσθαι, γίνοιτο δ' ἂν δι' ἐλασσόνων, εἰ διὰ τετάρτου, ταύτῃ γινόμενον εὖ ἂν ἔχοι. ληφθέντων μὲν τῶν μηνῶν καθ' ἃ εἴρηται, ἐπεμβαλλομένων δὲ τριάκοντα ἡμερῶν τῷ τρίτῳ ἔτει ἀεί. τοῦτο δ' ἐστὶ παρὰ δύο γίνεσθαι τὸν ἐμβολασμόν. πλὴν εἰ ἄρα ἀπό τινος τῶν ἀρχικῶν τροπικῶν ἡμερῶν ἄρχεται ὁ ἐνιαυτός. αὗται δ' εἰσὶ, πρώτη. δευτέρα. τρίτη. τῆς ὅλης καὶ αὐτοτελοῦς περιόδου. πρώτη μὲν τῆς πρώτης ἐνδεκάδος καὶ ἀτελοῦς περιόδου. δευτέρα δὲ τῆς δευτέρας ἐνδεκάδος καὶ ἀτελοῦς περιόδου. τρίτη δὲ τῆς ἑξῆς ὀκτάδος συμπληρούσης τὴν ὅλην τε καὶ αὐτοτελῆ περίοδον. βούλεται μὲν γὰρ ἡ ἔφοδος κἀπὶ τούτων τὴν τριάδα. συμβαίνει δὲ περιττεύειν μηδὲν τῷ τελευταίῳ ἔτει. ἀλλ' ἤτοι ἐλλείπειν ὡς αὖθι τῆς πρώτης ἐνδεκάδος καὶ τῆς δευτέρας, ἢ ἰσάζει ὡς αὖθι τῆς ἑξῆς γε ὀκτάδος. διόπερ ἀνάγκη τῷ μετὰ τὸ ἀρχικὸν εὐθὺς ἔτει ἐπάγειν τὰς περιττάς. δεῖ μέντοι καί τινος ἑτέρας προσθήκης διὰ τὰ ἐπιτρέχοντα μόρια εἴγε ἡμέρας ἐλλείπει μιᾶς που διὰ τετραετηρίδος. ἀναπληρωτέον δὲ κατὰ μέρος ὧδε. ὑποκείσθω ἑκατομβαιῶνος νουμηνίᾳ τὴν τροπὴν εἶναι τῷ πρώτῳ ἔτει. οὐκοῦν τῷ δευτέρῳ, δευτέρα αὖθι δεκάτῃ. τούτῳ δ' ἐπαχθέντος τοῦ ἐμβολίμου, αὐτό τε συμπεπλήρωται καὶ ἡ τροπὴ ὀγδόη τοῦ ἐμβολίμου φθίνοντος ὑπάρχει τῷ ἐπιόντι, καὶ περιτταὶ ὀκτώ. Δεῖ δὲ ἐνδεκάτῃ οὐκοῦν εἰς τετάρτην ἱσταμένου τοῦ ἑκατομβαιῶνος ἐπανήκει τῷ ἑξῆς ἡ τροπή. εἶτα εἰς πέμπτην αὖθι δεκάτῃ τῷ ἐχομένῳ πρόεισι. τοῦτο δ' αὖ ἐμβολάζον εἰς πέμπτην τοῦ ἐμβολίμου φθίνοντος καθίστησι τὴν τροπὴν τῷ ἐπιόντι, καὶ περιττὰς πέντε. ὥστε τὸ ἐφεξῆς δὴ, ἑβδόμῃ ἱστα-

μένου τοῦ ἑκατομβαιῶνος, τροπάσει. Καὶ ὀγδόη αὖθις δέκα τὸ μετ' αὐτό. τούτου δὲ πάλιν ἐμβολάζοντος, ἡ τροπὴ δευτέρα τοῦ ἐμβολίμου φθίνοντος ἔσται τῷ ἐπιόντι καὶ περιττοὶ δύο. τῷ ἄρα ἑξῆς εἰς δεκάτην τοῦ ἑκατομβαιῶνος περιΐσταται ἡ τροπὴ καὶ τῷ αὖθις τούτῳ εἰς δεκάτην δὴ φθίνοντος. τουτὶ δ' ἐμβολάζον, τελευταῖον τῆς πρώτης ἐνδεκάδος, εἰς δευτέραν ἱσταμένου τοῦ ἑκατομβαιῶνος ἀποκαθέστηκε τὴν τροπήν. περιττὴν μὲν μηδεμίαν ὑπολεῖπον. μιᾶς δ' ἔτι δέον. Αὕτη μὲν οὖν πρώτη ἐνδεκὰς καὶ περίοδος ἐν μέρει καὶ ἀτελής. ἀρχομένη μὲν ἀπὸ νουμηνίας τοῦ ἑκατομβαιῶνος, τελευτῶσα δὲ εἰς δευτέραν ἱσταμένου. δ' ἑπτάδος ἰθαγενοῦς δηλαδὴ βοηθουμένης τετράδος ἐμβολιμαίων ἐτῶν. Δευτέρα δὲ ὁμοία εἰς τρίτην ἱσταμένου ἀποκαθίστησι τὴν τροπήν. τρίτην δ' ἔχουσα τάξιν. ὀκτὰς. ὁμοίως ἐφοδευομένη, πληροῖ τὴν τῆς ὅλης καὶ αὐτοτελοῦς περιόδου ἀποκατάστασιν, εἰς νουμηνίαν ἀποκαθιστᾶσα τοῦ ἑκατομβαιῶνος. καὶ ἀεὶ οὕτως περιϊστάμεναι αἱ τροπαί, ὁμολόγως τοῖς μησὶν ἕξουσι, προστιθεμένων καὶ τῶν ἐπιτρεχόντων μορίων, ὅπως ἂν ἄμεινον δοκῇ προστιθέναι. θεωρείσθω δὲ ταῦτα κἀπὶ τῆς ἐκτεθείσης διαγραφῆς. ταῦτα μὲν ἐκ τούτων θεωρείσθω, ὅτῳ ἐπιμελές. ἀδέτω φίλον μὲν κατὰ πλήθωνα διαιρεῖν τε καὶ ἀριθμεῖν, οὐδ' αὐτῷ τι κωλύει χρῆσθαι τῇ τάξει τε καὶ ὀνομασίᾳ τῶν μηνῶν τῇ ἀποδοθείσῃ. κἂν πλήθων οὕτω διονομάζων περὶ μηνῶν ἔγραφεν. εἰ παρ' ἄλλου λαβεῖν τὴν πρὸς ἀλλήλους σύνταξιν τῶν μηνῶν εἶχεν ὀρθῶς. οὐδὲν γὰρ αὐτῷ οὔτε τὰς ἱερομηνίας οὔτε τῶν ἡμερῶν τὴν καταρίθμησιν ἐλυμαίνετ' ἂν ἥγε τῶν μηνῶν ὀνομασία ὡς ἀθηναῖοι ἦγον. ἐῶ λέγειν, ὡς καὶ ἐσέμνυνεν ἂν κομιδῇ ἐπικοσμοῦσα τὸ γράμμα. νῦν δ' οὐδὲ τὸ μὲν ἄτοπον ἡμῖν. τῆς ἐκφορᾶς τῶν ῥωμαϊκῶν ὀνομάτων φεύγων. ἰανουάριον καὶ φεβρουάριον καὶ τὰ τοιαῦτα οὐκ ὀνομάζει. ἀπορῶν δὲ τὴν σύνταξιν τῶν ἑλληνικῶν καὶ τὸ περὶ τὴν ζήτησιν ταλαίπωρον εὐλαβούμενος, αὖθις τὸ πρόχειρον τρέπεται τοῦ ἀριθμοῦ.

## ΠΕΡΙ ΑΡΧΗΣ ΤΗΣ ΗΜΕΡΑΣ.

Ἡμέρας δ' ἀρχήν, συγγενὲς γὰρ τῷ περὶ μηνῶν λόγῳ καὶ τοῦτο, ἀθηναῖοι μὲν ἀφ' ἡλίου δυσμῶν ἦγον, τὴν νύκτα τῇ μετ' αὐτὴν ἡμέρᾳ λογιζόμενοι καὶ τὸν μεταξὺ χρόνον μέχρι τῶν ἑτέρων δυσμῶν, μίαν τιθέμενοι ἡμέραν. ὡς Αὖλος ῥωμαίων λόγιος μάρκον βάρρωνα ἀναγεγραφέναι φησί. ῥωμαῖοι δὲ οἱ μὲν ἀρχαῖοι ἀπὸ μέσων νυκτῶν ἤρχοντο οἷς καὶ πλήθων ἑπόμενος ἀρχὴν τοιαύτην ποιεῖται. οἱ νῦν δὲ ἀφ' ἡλίου ἀνίσχοντος ἄγουσι. παραπλησίως δὲ καὶ οἱ νῦν ἕλληνες. καίτοι τοὐναντίον ἐχρῆν σύμπαντας τούς γε ἀπὸ χριστοῦ ποιεῖσθαι, χαριζομένους τῷ ἀρχηγέτῃ. οὕτω γὰρ μόνον ἔσται τριταῖον ἀναβιῶναι αὐτὸν τεθνεῶτα. ἐὰν ἡ τῆς ἡμέρας ἀρχὴ λαμβάνηται ἤτοι ἀπ' ἄκρας νυκτὸς ὡς ἀθηναῖοι ἦγον. ἢ ἀπὸ μέσης, ὡς ῥωμαῖοι. πότερον δὲ οὐ ῥᾴδιον ἀποφήνασθαι. οἱ μὲν γὰρ περὶ τὸν ἄθων θεολόγοι κατὰ μέσην ἀκριβῶς νύκτα γενέσθαι τὴν ἀναβίωσιν ἐξηγοῦνται. καὶ τῶν ἀναστασίμων ἄρχονται ὀργίων εὐθὺς ἀπὸ μέσων νυκτῶν. λόγος δ' αὐτῶν ὅτι τὰς εἰς τὸ μνῆμα ἀφικομένας γυναῖκας ἐπαμείψασθαι τὰ νενομισμένα, ὄρθρου μὲν ἔτι βαθέος παραγενέσθαι μὴ εὑρηκέναι δὲ τὸν νεκρόν οἱ περὶ Λουκᾶν τῶν εὐαγγελιστῶν γεγράφασιν ἱστοροῦντες. τὸ γὰρ τοῦ ὄρθρου βαθύ, τὸ ἐγγύς που τῆς μέσης νυκτὸς μηνύειν ὑπολαμβάνουσιν. ἅμα δὲ καί τι πλέον ἐπιλαμβάνοιτ' ἂν οὕτω τῆς τρίτης ἡμέρας. τὸ δὲ πλέον, σημεῖον δὴ τῆς τριάδος ἐστὶν ἐναργέστερον. τῶν δ' ἰταλιωτῶν οἱ περὶ τὴν ῥώμην, μετὰ μέσην που νύκτα φασὶ καὶ τὸ βαθύ, ἀφιστάντες ἱκανῶς τοῦ μέσου, ἀκούουσι. μηδενὸς δ' ἄρα τῶν συγγραφέων ἀποσαφοῦντος ὁπότε τῆς νυκτὸς ὁ θεὸς ἀναβιῴη, ἔοικε μὲν ἀσφαλεστέρως ἂν ἔχειν εἴ τις ἀπ' ἄκρας νυκτὸς τιθεῖτο τὴν τῆς ἡμέρας ἀρχήν. συμβαίνει γὰρ αὐτῷ ἐξ ἐπιμέτρου τὸ μετὰ τὴν μέσην. οἷς δ' αὖθις τοῦτο μόνον ὁ λόγος βέβηκεν. οὐ μᾶλλον πιθάρρος ἐπιτυγχάνειν, ἢ κίνδυνος παρανασατεῖν. Ἄτοπον μέν τοι γε ἕτερον αὖ ἀκολουθήσει θεμένοις ἀκρόνυχον τὴν ἀρχήν, τὸ τῇ ὑστεραίᾳ νόμιμον ὂν ἐσθίειν κρεῶν ἐξεῖναι κρεωφαγεῖν ἀπ' ἄκρας τῆς ἡγουμένης νυκτός. καὶ πάλιν ἀπηγορευμένον αὖ, μὴ ἐξεῖναι δεῖπνον ἐκ κρεάτων τῆς αὐτῆς ταύτης νυκτός γε ἑλέσθαι. περὶ τούτου μὲν οὖν εἰσαῦθις ἐπισκεπτέον ἐστὶ βέλτιον. καὶ τοὺς περὶ ταῦτα δεινοὺς παρακαλέσαντας συμβουλεύσασθαι, καλῶς ἔχει δεῖ τε τὴν σκέψιν οὕτω ποιεῖσθαι. ὡς μή τε συμβαίνειν ἐκ τοῦ λόγου ἐναντίον τοῖς ὁσίοις μηδέν, εὐαγῶς τε τῆς ἡμέρας κατάρχειν, τοῦ θεοῦ χάριν.

## ΟΘΕΝ ΑΡΙΘΜΗΤΕΟΝ ΤΟΥΣ ΧΡΟΝΟΥΣ.

Ὅσιον δὲ καὶ τοὺς χρόνους ἀριθμεῖν ἀπὸ γενετῆς τοῦ αὐτοῦ θεοῦ. ἀλλὰ μὴ ὡς οἱ νῦν ἕλληνες ἀπὸ κόσμου γενέσεως, ἑξακισχιλιοστὸν ἐνακοσιοστὸν ἑβδομηκοστόν, ὄγδοον τόδε ἔτος καταριθμοῦντες. προφητῶν μὲν γὰρ ἴσως καὶ ταῦτα. ἄμεινον δὲ τιμῶντας χριστόν, ἀπ' αὐτοῦ ἄρχεσθαι, καθάπερ οἱ νῦν ὄντες ῥωμαῖοι ἄγουσι χιλιοστὸν τετρακοσιοστὸν ἑβδομηκοστὸν τόδε διαριθμούμενοι ἔτος. καίτοι τῶν πάλαι ῥωμαίων ἀπὸ κτίσεως ῥώμης ἀριθμούντων ὥσπερ ἀθηναῖοι μὲν ἀπὸ ὀλυμπιάδος πρώτης. ἄλλοι δὲ ἀπὸ τῶν τρωϊκῶν.

τῶν τρωϊκῶν. ὥστε μὲν οὖν τῶν ἑλλήνων ταύ-
τῃ διαφέρεσθαι τῶν λογίων χάριν ἀνδρῶν. εἴπερ
ἄρα ἐλπὶς, διάλεκτον τοῖς ἐπιγινομένοις ἔσεσθαι
ἑλληνικὴν, ἀλλὰ μὴν ὡς ἄλλαν πάλαι ἐθνῶν.
καὶ τοῦ ἑλληνικοῦ νῦν παντὸς ἐκ γένους καὶ
λόγου, τελευτὴν ἅμαρτον εἶναι.

## ΜΑΡΤΥΡΕΣ ΤΩΙ ΛΟΓΩ.

Βασίλειος
Ἀριστοτέλης
Θεόφραστος
Στράβων
Πλούταρχος
Σιμπλίκιος
Συνέσιος

Πλήθων
Γαληνὸς
Δημοσθένης
Αἰσχίνης
Θουκυδίδης
Ἡρόδοτος
Καῖσαρ ὁ θεός

Αὖλος ῥωμαῖος
Μακρόβιος ῥωμαῖος
Πλίνιος ῥωμαῖος
Ἀριστοφάνης
Πολυδεύκης
Σουΐδας.

## Registrum.

a b c d e f g h i k l m n o p
q r ſ t u x y z A B C D E F G

Omnes ſunt Quaterniones præter z B qui ſunt terniones
G qui eſt quinternio.

Dictionarium hoc multis additionibus locupletatum
Venetiis Melchior Seſſa, & Petrus de Rauanis
socii q̃ diligentiſſime imprimendum curaue
runt, Menſis Decembris die. xxiiii. Anno
Dñicæ incarnatiõis. M. D. XXV.



DICTIONARIUM

GRÆCUM


calibrite
colorchecker CLASSIC
mm